[31] Ἀλλὰ γάρ, ὅπερ ἀνωτέρω δέδεικται, τὴν μὲν ἐκ πίστεως εἰς ἐνέργειαν προβᾶσαν υἱοθεσίαν καὶ τὴν θεοποιὸν δωρεὰν ταύτην οἱ ἅγιοι σαφῶς ἐνυπόστατόν φασιν· οὗτος δὲ τὴν θεομιμησίαν ἣν θεαρχίαν καὶ θεοποιὸν δῶρον μόνος ἁπάντων ὑπενόησεν, οὐκ ἐνυπόστατον εἶναι διισχυρίζεται· τοιγαροῦν ἑτέρα ἐστὶ παρὰ τὴν τοῖς πατράσιν ἐγγεγενημένην τε καὶ ἐγνωσμένην θέωσιν. Μάξιμος δὲ ὁ θεῖος οὐκ ἐνυπόστατον μόνον εἶπε ταύτην, ἀλλὰ καὶ ἀγένητον, καὶ οὐκ ἄκτιστον μόνον, ἀλλὰ καὶ ἀπερίγραπτον καὶ ὑπέρχρονον, ὡς καὶ τοὺς αὐτῆς εὐμοιρηκότας δι' αὐτὴν ἀκτίστους, ἀνάρχους καὶ ἀπεριγράπτους τελέσαι, καίτοι διὰ τὴν οἰκείαν φύσιν ἐξ οὐκ ὄντων γεγονότας. Οὗτος δέ, «ἃ μὴ ἑώρακεν ἐμβατεύων», κτιστὴν καὶ φυσικὴν καὶ ὑπὸ χρόνον ἰσχυρίζεται τὴν θέωσιν εἶναι, σαφῶς παρ' ἑαυτοῦ δημιουργῶν αὐτήν, ἀφ' ἧς καὶ τὸν Θεὸν δῆλός ἐστιν εἰς κτίσμα κατασπῶν. Ἡ μὲν γὰρ θέωσις, κατὰ τοὺς πατέρας, οὐσιώδης ἐστὶν ἐνέργεια Θεοῦ· ἧς δὲ οὐσίας αἱ οὐσιώδεις ἐνέργειαι κτισταί, κτιστὴ καὶ αὕτη ἐξ ἀνάγκης. Ταύτῃ δὲ τῇ ἀτοπίᾳ πολυτρόπως ἄν τις ἴδοι καὶ πολλάκις τὸν ταλαίπωρον τοῦτον περιπίπτοντα· οὐ γὰρ ἐρυθριᾷ πάσας τὰς ἐμφύτους τοῦ Θεοῦ δυνάμεις τε καὶ ἐνεργείας κτιστὰς ἀποφαινόμενος, καίτοι ναὸν Θεοῦ ζῶντος τῶν ἁγίων ἕκαστον εἶναι πεπιστεύκαμεν διὰ τὴν ἐνοικοῦσαν χάριν. Πῶς οὖν ναὸς Θεοῦ τὸ τοῦ κτίσματος οἰκητήριον; Πῶς δὲ τούτων ἕκαστος ἄκτιστος διὰ τὴν χάριν, εἰ κτιστή; Ἐκεῖνο δέ μοι καὶ λίαν θαυμάζειν ἔπεισι,

[269] Vezi paragrafele 9 şi 18.
[270] *Ambigua*, PG 91, 1137 şi urm.
[271] *Coloseni* 2, 18.
[272] Literal: «am crezut».
[273] Sau 'templu'; cf. *I Corinteni* 3, 16.

a sufletului, venită dinlăuntru ori dinafară – [nu altcum decât] *cuvântători [în chip] desăvârşit* îi va face pe cei în care ar apărea, nu însă şi *dumnezei.*

[31] Însă – ceea şi mai sus s-a arătat[269] – înfierea trecută din credinţă la lucrare şi darea aceasta îndumnezeitoare sfinţii spun că este eniposta[zia]tă (adică subzistentă în ipostas); pe când acesta susţine că imitarea-de-Dumnezeu (pe care, dintre toţi, singur el o socotit-o a fi thearhie şi dar îndumnezeitor) nu este eniposta[zia]tă; aşadar [cea despre care vorbeşte el] este alta decât îndumnezeirea cea venită înlăuntrul Părinţilor şi cunoscută [lor]. Iar Maxim dumnezeiescul a spus despre aceasta că este nu doar eniposta[zia]tă, dar şi nefăcută, şi nu doar [că este] nezidită, dar şi necircumscrisă şi mai-presus-de-timp, încât şi despre cei părtaşi de ea [zice că], datorită ei, ajung a fi neziditi, fără-de-început şi necircumscrişi[270], cu toate că – după firea lor – au fost făcuţi din cele ce nu sînt. Pe când acesta, «călcând în cele ce nu a văzut»[271], creată şi naturală şi sub timp susţine că este îndumnezeirea, limpede [că] de la el însuşi creând-o pe aceasta, de la care [pornind] – vădit lucru – şí pe Dumnezeu Îl sileşte a fi zidire. Că îndumnezeirea – după Părinţi – este lucrare fiinţială a lui Dumnezeu; iar fiinţa ale cărei lucrări fiinţiale sînt zidite, neapărat că şi aceasta e zidită. Şi se poate vedea cum nenorocitul acesta în multe feluri şi în multe rânduri cade în absurditatea aceasta; că nu se ruşinează a declara zidite toate puterile şi lucrările lui Dumnezeu, cele ce stau în firea Lui, cu toate că noi ne-am încredinţat[272] că fiecare din sfinţi e biserică a lui Dumnezeu Celui viu[273], datorită harului sălăşluit în el. Cum deci să [mai] fie biserică a lui Dumnezeu sălaşul a ceva zidit? Şi cum [mai] e fiecare din aceştia nezidit datorită harului, dacă [harul e] zidit? Pe mine, însă, mult mă prinde mirarea

πῶς καὶ αὐτὸς θεουργικὸν λέγων ὑπὸ τῶν πατέρων καλεῖσθαι τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν φῶς, εἶτ' αὐτὸς θεοποιὸν δῶρον τοῦτο λέγειν οὐκ ἀνέχεται. Οὐ μὴν ἀλλ' ἐπειδὴ ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος ἐνέργειά ἐστι Θεοῦ, ὁ δὲ Θεὸς ἀπὸ τῶν ἐνεργειῶν ἔχει τὰς ἐπωνυμίας (ἡ γὰρ ὑπερουσιότης ἀνώνυμός ἐστιν αὐτοῦ), εἴπερ ἐξ ἀρετῆς μόνης καὶ σοφίας ἡ θέωσις ὑπῆρχεν, οὐκ ἂν Θεὸς ὡς ἔχων θεοποιὸν ἐνέργειαν ἐκαλεῖτο ὁ Θεός, τῆς σοφίας καὶ ἀρετῆς ταύτην αὐτοῦ δήλην ποιούσης τὴν ἐνέργειαν· ἀλλ' οὐδ' ἂν ὑπέρθεος ἤκουεν, ὡς ταύτης τῆς θεότητος ἐπέκεινα ὑπάρχων· ἀπέχρησε γὰρ ἂν αὐτῷ ὑπέρσοφον καὶ ὑπεράγαθον καὶ τὰ τοιαῦτα λέγεσθαι. Τοιγαροῦν ἄλλο παρὰ τὴν ἀρετὴν καὶ τὴν σοφίαν ἡ χάρις καὶ ἡ ἐνέργεια τῆς θεώσεώς ἐστι.

[32] Τῶν τοῦ καλοῦ τοίνυν Βαρλαὰμ εἰς ἡμᾶς λοιδοριῶν ἀλογήσαντες (οὐ γὰρ εἰς ἡμᾶς, ἀλλ' εἰς τοὺς πατέρας ἀναφέρονται· τούτων γὰρ εἰσι τὰ ὑβρισμένα δόγματα, μᾶλλον δὲ οὐδὲ ἐκείνων ἅπτεται· πτύων γάρ τις, ὃ φασιν, εἰς οὐρανόν, οὐ τὸν οὐρανὸν ἀλλ' ἑαυτὸν ποιεῖ κατάπτυστον)· οὐκοῦν ἡμεῖς παρ' οὐδὲν τὰς βδελυρὰς ταύτας βλασφημίας ἡγησάμενοι, ὡσανεὶ διαπορητικῶς ἤρετο, τί ποτ' ἄρα θέωσίς ἐστιν, ἀποκρινούμεθα πρὸς τοῦτο κατὰ τὴν ἐπιμετρηθεῖσαν ἡμῖν παρὰ Κυρίου δύναμιν. Ἐνέργειαν Θεοῦ θεοποιόν, ὦ βέλτιστε, ἀκούων καὶ Πνεύματος

[274] Literal: zeificatoare.

[275] Denumirile date lui Dumnezeu vin de la lucrările Sale; vezi Vasile cel Mare, *Epistola 189*, 8, PG 32, 696, Grigorie Teologul, *Cuvântul 30*, 18, PG 36, 128 A, Dionisie Areopagitul, *Despre dumnezeieştile numiri* 12, 2, PG 3, 969 C. Aici denumirea de 'Dumnezeu' e percepută a fi totuna cu cea de 'dumnezeire', unde 'dumnezeire' numeşte procesul de îndumnezeire al omului (omul ajunge dumnezeu prin faptul de – aşa zicând – *a se dumnezei*, prin 'dumnezeire').

[276] Adică: de dumnezeirea înţeleasă ca îndumnezeire, cum tocmai s-a arătat, pe baza textului areopagit.

de aceea că după ce el însuşi zice că Părinţii numesc *îndumnezeitoare*[274] lumina ce a strălucit pe Tavor, pe urmă – tot el – nu suportă a o numi *dar îndumnezeitor*. Bine, dar de vreme ce îndumnezeitoarea dare a Duhului este lucrare a lui Dumnezeu, iar Dumnezeu Îşi are denumirile [luate tocmai] de la lucrările [Sale] (că fiinţa Lui cea mai-presus-de-fiinţă Îi este fără-de-nume), dacă îndumnezeirea ar fi fost [venită] doar din virtute sau înţelepciune, [atunci], Dumnezeu nu S-ar mai numi 'Dumnezeu'[275] ca având [adică] lucrare îndumnezeitoare, pentru că [de acum] lucrarea aceasta a Lui ar vădi-o înţelepciunea şi virtutea; ba nici 'mai-presus-de-dumnezeire' nu S-ar numi ca fiind [El] dincolo de o astfel de dumnezeire[276], ci ar fi de ajuns să I se zică [a fi] 'mai-presus-de-înţelepciune' şi 'mai-presus-de-bunătate' şi aşa mai departe. Aşadar, altceva decât virtutea şi înţelepciunea este harul şi lucrarea îndumnezeirii.

[32] Nesocotind [noi], aşadar, ale bunului Varlaam ocări asupra noastră – că nu asupra noastră sînt acestea, ci asupra Părinţilor (că ale acestora sînt dogmele ocărâte [de el]), iar de aceia nici a se atinge nu poate, că, după cum se spune, scuipând cineva spre cer, nu cerul, ci pe sine însuşi se scuipă – aşadar, întru nimic socotind noi scârboase hulele acestea, ca şi când ar întreba cu nedumerire 'ce este [aceea] îndumnezeire', îi vom răspunde acestuia după puterea câtă ni s-a dat nouă de la Domnul. Auzind [vorbindu-se], o, bune [prietene], de lucrare a lui Dumnezeu îndumnezeitoare şi de har de-dumnezeu-lucrător al Duhului, nu iscodi, nu căuta [să pricepi] cum e asta şi cum e aia şi cum [de] nu e [ailaltă] – când fără de aceasta[277] nu ai cum ajunge în Dumnezeu, după [spusele de către] cei ce au vorbit

[277] Adică: fără lucrarea îndumnezeitoare a lui Dumnezeu, fără harul îndumnezeitor al Duhului.

χάριν θεουργόν, μὴ πολυπραγμόνει, μηδὲ ζήτει, πῶς μὲν τοῦτο, πῶς δ' ἐκεῖνο, πῶς δὲ μή, καὶ ταῦτα ταύτης ἄνευ μὴ γενήσεσθαι μέλλων ἐν Θεῷ, κατὰ τοὺς περὶ αὐτῆς εἰπόντας, ἀλλὰ τῶν ἔργων ἔχου, δι' ὧν ἐκείνης τεύξῃ· τότε γὰρ καὶ ταύτην εἴσῃ κατὰ τὸ ἐγχωροῦν· μόνος γὰρ ὁ πείρᾳ μαθὼν οἶδε τὰς ἐνεργείας τοῦ Πνεύματος, κατὰ τὸν μέγαν Βασίλειον. Ὁ δὲ πρὸ τῶν ἔργων τὴν εἴδησιν ζητῶν, τοῖς πεπειραμένοις μὲν πιστεύων, λαμβάνει τι τῆς ἀληθείας ἴνδαλμα, παρ' ἑαυτοῦ δὲ διανοούμενος καὶ τοῦ ἰνδάλματος διαπεσών, εἶθ' ὡς εὑρηκὼς μέγα φυσᾶται καὶ πολύς κατὰ τῶν πεπειραμένων ὡς πεπλανημένων πνεῖ. Μὴ πολυπραγμόνει τοίνυν, ἀλλ' ἔπου τοῖς πεπειραμένοις, μάλιστα μὲν ἔργοις, εἰ δὲ μὴ τούτοις, τοῖς λόγοις γοῦν, ἀρκούμενος ταῖς παραδειγματικαῖς ἐκφάνσεσιν αὐτῆς· ἡ γὰρ θέωσις ὑπερώνυμος. Διὸ καὶ ἡμεῖς πολλὰ περὶ ἡσυχίας συγγραψάμενοι, νῦν μὲν τῶν πατέρων προτρεψαμένων, νῦν δὲ τῶν ἀδελφῶν αἰτησαμένων, οὐδαμοῦ περὶ θεώσεως ἀναγράψαι τεθαῤῥήκαμεν· νῦν δ' ἐπείπερ ἀνάγκη λέγειν, ἐροῦμεν, εὐσεβῆ μὲν τῇ τοῦ Κυρίου χάριτι, παραστῆσαι δὲ οὐχ ἱκανά· καὶ λεγομένη γὰρ ἄῤῥητος ἐκείνη μένει, μόνοις ἐνώνυμος, κατὰ τοὺς πατέρας φάναι, τοῖς εὐμοιρηκόσιν αὐτῆς.

[33] «Ἡ φύσει τοιγαροῦν θεότης, ἡ ἀρχὴ τῆς θεώσεως, ἐξ ἧς ὡς αἰτίας ἀμεθέκτου τὸ θεοῦσθαι τοῖς θεομένοις

---

[278] Vezi, mai jos, pasajul din Gură-de-aur din *Triade* 3, 3, 3, cel din *La Isaia* 1, PG 56, 14.

[279] Sau: 'nenimerindu-o nici cu închipuirea aceea', ratând şi închipuirea – sau reprezentarea – aceea.

[280] Altfel zis: cu fapta, cu săvârşirea lucrurilor; perechea terminologică vizată în cazul de faţă este cea bineştiută: *cu lucrul~cu cuvântul*.

[281] Este vorba de cele şase cărţi anterioare, dintre care primele trei sînt răspunsuri către un oarecare frate.

[282] După ce mai adineauri (în paragraful 29) expresia 'obârşia îndumnezeirii' însemna harul îndumnezeitor, acum – alăturată expresiei 'dumnezeirea cea prin fire' – înseamnă, pare-se, fiinţa dumnezeiască, de vreme ce se spune că

despre aceasta –, ci săvârşeşte lucrurile prin care o să ai parte de aceea şi atunci vei şti şí ce este aceasta, pe cât cu putință; că, după [cum spune] marele Vasile[278], doar cine învață din cercare, [doar acela] ştie lucrările Duhului. Pe când cel ce mai înaintea [săvârşirii] lucrurilor caută [a dobândi] ştiința, crezând [el] celor ce au cercarea, dobândeşte oarece închipuire a adevărului; dar cugetând [el] de la sine însuşi şi nenimerind [nici] închipuirea aceea[279], mult se îngâmfă apoi cum [că] ar fi aflat-o şi mult se stropşeşte asupra celor încercați, ca asupra unor înşelați. Nu iscodi, dar, ci urmează celor [în]cercați; [şi urmează-le] mai ales cu lucrurile[280]; iar de nu cu acestea, măcar cu cuvintele, mulțumindu-te cu arătările paradigmatice despre ea; că îndumnezeirea e [ceva] mai presus de nume; [fapt] pentru care şi noi, multe scriind despre isihie – [şi aceasta] ba îndemnându-ne Părinții, ba cerându-ne frații[281] – nicidecum nu am cutezat să scriem despre îndumnezeire. Dar acum, fiind nevoie să zicem, vom zice, [şi anume ziceri] binecinstitoare față de harul Domnului, dar neputincioase de a-l înfățişa [propriu-zis]; că acela – şí spus fiind [el] – [tot] negrăit rămâne, nume având [el] (ca să zicem ca Părinții) doar pentru cei ce au avut parte de el.

[33] Aşadar, «dumnezeirea cea prin fire, obârşia îndumnezeirii[282], din care» – ca dintr-o pricină de neîmpărtăşit

---

este văzută – cu mintea şi simțirea trupească – doar firii omeneşti asumate de Dumnezeu-Cuvântul şi că este 'pricină *neîmpărtăşită* [nimănui]' (altfel zis: cauză neparticipată); vezi cele ce urmează numaidecât. Dacă 'îndumnezeirea' o socotim a fi harul îndumnezeitor, aşadar lucrarea îndumnezeitoare nezidită, fireşte că ființa dumnezeiască este obârşie a îndumnezeirii, că nu a altcuiva decât a ei este nezidită lucrare îndumnezeitoare. Notăm că alternarea sensurilor unui cuvânt – chiar în cadrul unui singur paragraf – e ceva propriu sfântului Grigorie; vezi nota noastră la *Epistola I[a] către Varlaam* 21, în *Palama* II, G.A., p. 144-5 (nota 79).

ἐστιν», αὕτη τοίνυν «ἡ πάντων ἐπέκεινα θεαρχικωτάτη μακαριότης» ἀόρατός ἐστι καθ' ἑαυτὴν αἰσθήσει τε καὶ νῷ, ἀσωμάτῳ τε καὶ σώματι συνδεδεμένῳ· κἂν ἐκστῇ ἑαυτοῦ τι τούτων ἐπὶ τὸ κρεῖττον θεωθέν· μόνῳ γὰρ τῷ καθ' ὑπόστασιν ἡνωμένῳ νῷ καὶ σώματι εἶναί τε καὶ γενέσθαι θεατὴ πιστεύεται, εἰ καὶ μὴ κατὰ τὴν οἰκείαν φύσιν ἑαυτῶν. Μόνα γὰρ ἐκεῖνα «παρουσίᾳ τοῦ χρίοντος ὅλου» ἐθεώθησαν καὶ τὴν ἴσην ἐνέργειαν τῇ θεούσῃ οὐσίᾳ προσελάβοντο, πᾶσαν αὐτὴν ἀνελλιπῶς χωρήσαντα καὶ δι' ἑαυτῶν ἐκφήναντα· καὶ γὰρ «ἐν τῷ Χριστῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς» κατὰ τὸν ἀπόστολον «οἰκεῖ». Διὸ καὶ τῶν ἁγίων εἰσὶν οἳ μετὰ τὴν διὰ σαρκὸς τοῦ Θεοῦ ἐπιδημίαν οἷόν τι πέλαγος ἀπεριόριστον τὸ φῶς ἐκεῖνο εἶδον, ἐξ ἑνὸς δίσκου, τοῦ προσκυνητοῦ δηλονότι σώματος, παραδόξως προχεόμενον, ὡς καὶ οἱ ἀπόστολοι ἐπὶ τοῦ ὄρους. Οὕτω μὲν

---

[283] Sau: fericirea – ca iradiere de fericire, am zice – cea preaproprie dumnezeieştii obârşii.

[284] Pasajul de faţă este o împletire de două locuri din *Despre ierarhia bisericească* a sfântului Dionisie Areopagitul, şi anume 'αὕτη δὲ ἡ πάντων ἐπέκεινα θεαρχικωτάτη μακαριότης...' (1, 4, PG 3, 376 B; ed. De Gruyter p. 66, r. 8) şi «ἡ θεαρχικὴ μακαριότης, ἡ φύσει θεότης, ἡ ἀρχὴ τῆς θεώσεως, ἐξ ἧς τὸ θεοῦσθαι τοῖς θεουμένοις» (1, 3, PG 3, 373 D; ed. De Gruyter p. 66, r. 20).

[285] E vorba despre minţile – sau simţirile – celor ce se îndumnezeiesc, îngeri sau oameni.

[286] Sau: spre ce e mai bun; precizarea aceasta este făcută de sfântul Grigorie, ironic, dat fiind că, în cadrele 'logicii' lui Varlaam, ieşirea ('extazul') de tipul acesta era automat înţeleasă ca fiind spre ce e mai rău (vezi *Triade* 2, 3, 58, *Palama* III, GA, p. 577).

[287] Adică: chiar şi atunci când vreo minte – ori vreo simţire – din cele zidite, îndumnezeită, iese afară din sine însăşi, în 'extaz'.

[288] Adică: după credinţa Bisericii.

[289] Mintea şi trupul acestea – cele unite după ipostas cu Dumnezeirea cea prin fire – sînt cele ale Cuvântului înomenit, ale firii omeneşti luate de El asupra Sa.

[nimănui] – «[le] este celor îndumnezeiți [faptul de] a se îndumnezei, aşadar însăşi preathearhica fericire[283] cea dincolo de toate»[284], [aceasta] nevăzută este – în sine însăşi – simțirii şi minții, atât [minții] celei netrupeşti, cât şi celei unite cu trupul, chiar şi când vreuna dintre acestea[285] iese afară din sine însăşi – spre ce e mai presus[286] –, îndumnezeindu-se[287]. Că, [după cum] se crede[288], *este* [văzută] şi *s-a făcut* văzută doar minții şi trupului după ipostas unite [cu aceasta][289], măcar că nu după firea lor proprie; că doar acelea[290] s-au îndumnezeit «prin venirea a *întreg ceea ce unge*»[291] şi au dobândit lucrarea [cea] deopotrivă cu a ființei ce le-a îndumnezeit, încăpând-o [ele într-însele] pe aceasta toată, fără [vreo] lipsă, şi prin ele însele arătându-o [înafară]; că [doar] «în Hristos locuieşte trupeşte» – după [cum zice] Apostolul – «*toată* plinătatea dumnezeirii»[292]; că de aceea şi sînt sfinți care, după venirea prin trup a Domnului, ca o mare nemărginită au văzut lumina aceea, într-un singur crug[293] – din închinatul Trup, adică[294] – [re] vărsată în chip neînțeles, cum [au văzut-o] şi Apostolii

[290] «acelea»: mintea şi trupul lui Hristos.

[291] Grigorie Teologul, *Cuvântul 30*, 21: «Iar 'Hristos' [adică 'Uns', numindu-Se] pentru dumnezeire [adică datorită dumnezeirii Lui, pe temeiul faptului că – unind în ipostasul Său cele două firi – firea Lui omenească 'este unsă' de dumnezeirea Lui, nemijlocit], că aceasta [însăşi, adică dumnezeirea] este ungere a omenității, sfințindu-o *nu cu lucrarea*, ca la ceilalți unşi, *ci cu venirea de față* a întreg ceea ce unge» (PG 36, 132 B; PG 151, 748 AB; notăm că aici neutrul '*[întreg] ceea ce unge*' indică dumnezeirea [întreagă], după cum – mai departe – şi neutrul '*ceea ce este uns*' indică omenirea (adică omenitatea); vezi citatul acesta şi la Marcu Evghenicul, Opere II, GA, p. 198-9 (unde, însă, în loc de neutrul *ceea ce unge*, apare masculinul *Cel ce unge*).

[292] *Coloseni* 2, 9.

[293] Adică: disc solar.

[294] Vezi şi adaosul – neidentificat – din sfântul Vasile în *Triade* 1, 3, 29.

οὖν ἡ ἀπαρχὴ τεθέωται τοῦ ἡμετέρου φυράματος. Ἡ δὲ τῶν τεθεωμένων ἀγγέλων καὶ ἀνθρώπων θέωσις οὐχ ἡ ὑπερούσιός ἐστιν οὐσία τοῦ Θεοῦ, ἀλλὰ τῆς ὑπερουσίου οὐσίας τοῦ Θεοῦ ἐνέργεια, τοῖς τεθεωμένοις ἐνυπάρχουσα, οὐχ ὡς ἡ τέχνη ἐν τῷ τεχνητῷ (οὕτω γὰρ τοῖς δημιουργικῶς προηγμένοις ἔνεστιν ἡ προαγαγοῦσα ταῦτα δύναμις, ἐπιφαινομένη πᾶσιν ἢ καὶ ἐμφαινομένη), ἀλλ' «ὡς ἡ τέχνη ἐν τῷ ἀναλαβόντι αὐτήν», κατὰ τὸν μέγαν Βασίλειοιν (διὸ καὶ ὄργανά εἰσι τοῦ ἁγίου Πνεύματος οἱ ἅγιοι, τὴν αὐτὴν ἐκείνῳ προσειληφότες ἐνέργειαν), καὶ ἡ τῶν λεγομένων πίστις ἑτοίμη, τὰ χαρίσματα τῶν ἰαμάτων, τὰ ἐνεργήματα τῶν δυνάμεων, ἡ πρόγνωσις, ἡ μὴ ἀντιλεγομένη σοφία ἦν καὶ Πνεῦμα τοῦ Πατρὸς ἡμῶν ὁ Κύριος προσηγόρευσεν, οὐ μόνον δέ, ἀλλὰ καὶ ἡ τοῦ Πνεύματος ἁγιαστικὴ μετάδοσις, ἐξ αὐτῶν καὶ δι' αὐτῶν χορηγουμένη τοῖς ἁγιαζομένοις μετ' αὐτούς· «λήψομαι γὰρ ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπὶ σὲ καὶ θήσω ἐπ' αὐτούς», πρὸς τὸν Μωϋσῆν εἶπεν ὁ Θεός, καὶ τοῦ Παύλου τὰς χεῖρας ἐπιθέντος τοῖς δεκαδύο Ἐφεσίοις «ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε» πάραυτα γλώσσαις καὶ προεφήτευον». Οὐκοῦν ὅταν μὲν τὴν οἰκείαν ἀξίαν τοῦ Πνεύματος ἐννοῶμεν, μετὰ

---

[295] Adică firea omenească luată asupra Sa de Cuvântul.

[296] Deosebirea dintre *ἐπιφαινομένη* (arătată de [toate]) şi *ἐμφαινομένη* (arătată în [toate]) ar putea fi că prima arătare este mijlocită de către configuraţia – aşa-zicând – *exterioară* a lumii zidite, de 'suprafaţa' ei, pe când cea de a doua de configuraţia ei *lăuntrică*, de structura ei mai profundă. Primul termen mai apare şi în *Triade I*, 1, 18· 3, 6, *Triade II*, 3, 56, *Tratate I*, 33, *Tratate II*, 40· 41; iar al doilea şi în *I Varlaam* 3, *II Varlaam* 19; 51; 52, *Triade I*, 1, 13, *Tratate I*, 31, *Tratate II*, 40.

[297] Adică: şi l-a asumat, îl lucrează.

[298] *Despre Duhul sfânt* 26.61, PG 32, 180 C: «precum meşteşugul în cel ce l-a luat asupra sa pe acesta, aşa e harul Duhului în cel ce l-a primit, [şi anume] pururea fiind împreună cu acela [cu primitorul, adică], dar nu lucrând neîncetat; că şi meşteşugul, pe de o parte, virtual *este* în meşter;

pe munte. Aşa s-a îndumnezeit, deci, pârga frământăturii noastre[295]. Pe când îndumnezeirea îndumnezeiților îngeri şi oameni nu este ființa cea mai-presus-de-ființă a lui Dumnezeu, ci [o] lucrare a ființei mai-presus-de-ființă a lui Dumnezeu, existentă în cei îndumnezeiți nu ca meşteşugul în [lucrul] meşteşugit (că aşa este în cele prin facere aduse [la ființă] puterea ce le-a adus [la ființă], arătată de toate sau şi arătată în [toate][296]), ci «precum meşteşugul în cel ce şi l-a luat asupra sa[297]» – după marele Vasile[298] –, [fapt] pentru care şi sînt sfinții organe ale sfântului Duh[299], aceeaşi lucrare cu Acela luând-o [de la El]; iar dovada celor zise[300] e la îndemna [oricui]: darurile vindecărilor, lucrările puterilor[301], mai-înainte-ştiința, înțelepciunea căreia nu i se poate sta împotrivă – [înțelepciune] pe care şi 'Duh al Tatălui nostru' a numit-o Domnul[302] –, [şi] nu doar atât, ci şi sfințitoarea dare [mai departe[303]] a Duhului, [dare] din ei [înşişi][304] şi prin ei [înşişi] hărăzită celor ce se sfințesc după ei; că «lua-voi din Duhul ce este asupra ta şi voi pune asupra lor»[305] a zis Dumnezeu către Moisí, iar Pavel, punându-şi mâinile pe cei doisprezece efeseni, «a venit Duhul sfânt asupra lor, şi» – numaidecât – «vorbeau în limbi, şi proroceau»[306]. Aşadar, când gândim [la] vrednicia proprie a Duhului[307],

---

dar, pe de alta, în lucrare [adică în act] e [doar] atunci când acesta [meşterul, adică,] lucrează din unghiul lui».

[299] Sau instrumente (chiar muzicale, în care suflă Duhul), sau unelte.

[300] Adică: dovada că sfinții au aceeaşi lucrare cu Duhul sfânt.

[301] «lucrările puterilor» (faptul de a lucra [ei] 'puteri'): săvârşirile minunilor; *I Corinteni* XII 9, 10, 28, 30.

[302] *Matei* 10, 20.

[303] Adică: transmitere către alții, prin sfințirea acelora.

[304] Adică: din sfinți, din 'organele' Duhului.

[305] *Numerii* 11, 17.

[306] *Fapte* 19, 6.

[307] Adică 'rangul' propriu Lui, 'dregătoria' proprie Lui.

Πατρὸς αὐτὸ καὶ Υἱοῦ θεωροῦμεν, ὅταν δὲ τὴν εἰς τοὺς μετόχους ἐνεργουμένην χάριν ἐνθυμηθῶμεν, ἐν ἡμῖν εἶναι τὸ Πνεῦμα λέγομεν, «ἐκχεόμενον πρὸς ἡμᾶς, οὐ κτιζόμενον, διδόμενον ἡμῖν, οὐ ποιούμενον, χαριζόμενον, οὐ δημιουργούμενον»· ἐνυπάρχον τοῖς μὲν ἀτελέσιν ἔτι, κατὰ τὸν μέγαν αὖθις φάναι Βασίλειον, ὥσπερ τις διάθεσις «διὰ τὸ τῆς γνώμης ἀνίδρυτον», τοῖς δὲ τελειωτέροις ὡς ἕξις ἐπίκτητος, ἔστι δ' ἐφ' ὧν ἐνερῥιζωμένη καὶ ταύτης μᾶλλον· «ὡς γὰρ ἡ δύναμις», φησί, «τοῦ ὁρᾶν ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, οὕτως ἡ ἐνέργεια τοῦ Πνεύματος ἐν τῇ κεκαθαρμένῃ ψυχῇ».

[34] Τοιγαροῦν οὐχ ἡ ὑπερούσιος οὐσία τοῦ Θεοῦ ἐστιν ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος, ἀλλ' ἡ τῆς ὑπερουσίου οὐσίας τοῦ Θεοῦ θεοποιὸς ἐνέργεια, καὶ οὐδὲ αὕτη πᾶσα, εἰ καὶ καθ' ἑαυτὴν ἀμέριστος ἐκείνη. Τίς γὰρ τῶν κτιστῶν χωρῆσαι δύναιτ' ἂν ὅλην τὴν ἀπειροδύναμον δύναμιν τοῦ Πνεύματος, πλὴν τοῦ κυηθέντος ἐν παρθενικῇ νηδύι, παρουσίᾳ Πνεύματος ἁγίου καὶ τῆς τοῦ ὑψίστου δυνάμεως ἐπισκιάσει; Διὸ καὶ «πᾶν» μὲν οὗτος ἐχώρησε «τὸ πλήρωμα τῆς θεότητος», «ἐκ δὲ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν». Πανταχοῦ μὲν οὖν ἡ οὐσία τοῦ Θεοῦ· τὸ γὰρ Πνεῦμα, φησί, πληροῖ πάντα κατὰ τὴν οὐσίαν· πανταχοῦ δὲ καὶ ἡ θέωσις, ἐνυπάρχουσα ἀφράστως ταύτῃ καὶ ἀχώριστος ἐκείνης οὖσα, ἅτε φυσικὴ δύναμις αὐτῆς. Ἀλλ' ὥσπερ τὸ πῦρ ἀφανές ἐστι μὴ προκειμένης ὕλης ἢ αἰσθητηρίου τοῦ χωροῦντος τὴν φωτιστικὴν ἐνέργειαν αὐτοῦ, οὕτω δὴ

[308] Literal: Îl 'vedem' [cu mintea]; Îl considerăm, adică.

[309] Vasile cel Mare, *Contra lui Eunomiu 5*, PG 29, 772 D.

[310] Sau: opțiunii lor.

[311] Sau: facultatea vederii.

[312] Vasile cel Mare, *Despre Sfântul Duh* 26, 61, PG 32, 180 CD.

[dimpreună] cu Tatăl Îl socotim[308] [pe El] şi cu Fiul; iar când cugetăm [la] harul lucrător în cei părtaşi [de El], zicem că în noi este Duhul, «vărsat asupra noastră, nu zidit; dat nouă, nu făcut; hărăzit, nu creat»[309], în cei încă nedesăvârşiţi – ca să zicem iarăşi ca marele Vasile – existând [doar] ca o aplecare/dispoziţie, datorită neaşezării alegerii [lor[310]], pe când în cei [ce sînt] mai desăvârşiţi ca o deprindere dobândită, iar în alţii chiar şí mai înrădăcinată decât [deprinderea] aceasta; că «precum puterea văzului[311]» – zice – «în ochiul sănătos, aşa [este] lucrarea Duhului în sufletul curăţit»[312].

[34] Prin urmare, nu fiinţa lui Dumnezeu cea mai-presus-de-fiinţă este darul Duhului cel îndumnezeitor, ci îndumnezeitoarea lucrare a fiinţei mai-presus-de-fiinţă a lui Dumnezeu; şi nici aceasta toată, măcar că – în sine însăşi – e de neîmpărţit [în părţi]; că, dintre zidiri, cine ar putea încăpea [în sine] întreaga nesfârşit-de-puternică putere a Duhului, afară de Cel zămislit în feciorescul pântece, prin venirea Duhului sfânt şi [prin] umbrirea puterii Celui Preaînalt[313]? [Fapt] pentru care Acesta a şi încăput [în Sine] «*toată* plinătatea dumnezeirii»[314], pe când «noi toţi *am luat din* plinătatea Lui»[315]. Aşadar, pretutindenea este fiinţa lui Dumnezeu[316] (că, după fiinţa [Sa], Duhul – zice – umple toate[317]); pretutindenea este, deci, şi îndumnezeirea, existând [în chip] de negrăit în [fiinţa] aceasta şi fiind nedespărţită de aceea, ca putere firească a ei[318]. Dar, după cum focul e nearătat atunci când nu se află de faţă [vreo] materie [care să ardă] ori [vreo]

[313] *Luca* 1, 35. [314] *Coloseni* 2, 9. [315] *Ioan* 1, 16.
[316] Adică: pretutindeni stă de faţă fiinţa lui Dumnezeu.
[317] *Înţelepciunea lui Solomon* 1, 7.
[318] Adică: putere naturală.

καὶ ἡ θέωσις ἀθεώρητός ἐστι μὴ προκειμένης ὕλης τῆς χωρούσης τὴν θείαν ἐμφάνειαν· ἡνίκα δ' ἂν ἐπιτηδείας ὑλης ἀπερικαλύπτως ἐχούσης ἐπιλάβηται, τοιαύτη δέ ἐστι πᾶσα λογικὴ κεκαθαρμένη φύσις τὸ τῆς πολυειδοῦς κακίας οὐκ ἐπιφερομένη κάλυμμα, τηνικαῦτα καὶ αὐτὴ φῶς πνευματικὸν ὁρᾶται, μᾶλλον δὲ κἀκείνους φῶς ποιεῖ πνευματικόν. «Ἄθλον» γάρ, φησίν, «ἀρετῆς θεὸν γενέσθαι καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, τῆς ἡμέρας ἐκείνης υἱὸν γενόμενον, ἣ μὴ διακόπτεται ζόφῳ· ἄλλος γὰρ ταύτην ποιεῖ ἥλιος, ὁ τὸ ἀληθινὸν φῶς ἀπαστράπτων, ὅς, ἐπειδὰν ἅπαξ ἐπιφαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλὰ πάντα τῇ φωτιστικῇ ἑαυτοῦ δυνάμει περιπτυξάμενος, διηνεκὲς καὶ ἀδιάδοχον τοῖς ἀξίοις τὸ φῶς ἐμποιεῖ καὶ αὐτοὺς τοὺς μετέχοντας τοῦ φωτὸς ἐκείνου ἄλλους ἡλίους ἀπεργαζόμενος». Τότε γὰρ καὶ «οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος». Ὡς ποῖος ἥλιος; Ὡς ἐκεῖνος δήπουθεν ὁ τότε καὶ νῦν τοῖς ἀξίοις φαινόμενος.

[35] Ὁρᾷς ὅπως αὐτὴν προσκτῶνται τὴν ἐνέργειαν τοῦ ἡλίου τῆς δικαιοσύνης; Διὸ καὶ θεοσημίαι διάφοροι καὶ χορηγία Πνεύματος ἁγίου τελεῖται δι' αὐτῶν. «Ὡς γὰρ ὁ περίγειος», φησίν, «οὗτος ἀὴρ ἀνωσθεὶς ὑπὸ τῆς βίας τοῦ Πνεύματος φωτοειδὴς γίνεται, τῷ καθαρῷ τοῦ αἰθέρος ἐναλλοιούμενος, οὕτω καὶ ὁ νοῦς ὁ ἀνθρώπινος,

[319] Adică: să perceapă.
[320] Adică: pe cei ce o văd.
[321] Altul, adică, decât soarele zidit, este soarele care dă naştere zilei aceleia neînserate.
[322] Literal: nesuccedată [de întuneric].
[323] În *Epistola a III^a^ către Achindin* 5, pasajul acesta este atribuit lui Vasile cel Mare, dar nu l-am identificat; pe tema aceasta vezi *Despre Duhul Sfânt* 9, 23, PG 32, 109 AB.
[324] *Matei* 13, 43.

simțire care să încapă [în ea[319]] lucrarea lui luminătoare, tot aşa şi îndumnezeirea e de nevăzut atunci când nu se află de față [vreo] materie care să încapă [în sine] dumnezeiasca arătare; când, însă, apucă [vreo] materie potrivită [ei] (iar de felul acesta este toată curățita fire cuvântătoare care nu poartă [pe ea] acoperământul răutății celei cu multe chipuri), atunci şi aceasta se vede [ca] lumină duhovnicească, ba mai mult, şi pe aceia[320] îi face lumină duhovnicească. Că «răsplata virtuții» – zice – «este [faptul de] a se face [omul] dumnezeu şi a străluci [de] lumina cea preacurată, făcându-se fiu al zilei aceleia, cea pe care nu o curmă întunericul; că altul e soarele care o face pe aceea[321], [şi anume] cel ce străluceşte 'lumina cea adevărată', carele, o dată răsărindu-ne nouă, nu se mai ascunde la apus, ci [pe] toate îmbrățişându-le cu puterea lui luminătoare, aduce înlăuntrul celor vrednici [o] lumină neîncetată şi căreia nimic nu îi mai ia locul[322] şi pe înşişi părtaşii de lumina aceea îi face [a fi ca nişte] alți sori»[323]; că atunci şí «drepții vor străluci ca soarele»[324]; care soare?; negreşit că acela văzut atunci – şi acum – de cei vrednici.

[35] Vezi că [aceştia] dobândesc însăşi lucrarea 'soarelui dreptății'[325]? [Fapt] pentru care şi felurite semne dumnezeieşti se săvârşesc prin aceştia, [cum] şi darea [către alții a] Duhului sfânt. Că – zice – «după cum aerul acesta dimprejurul pământului, [dacă e] împins în sus de puterea duhului [adică a suflării vântului[326]], se face luminos, preschimbându-se în văzduh [străveziu], tot aşa şi mintea omenească, părăsind viețuirea aceasta[327] tulbure

[325] *Maleahi* 3, 20.

[326] Semnalăm că în română – ca şi în greacă – *duh* înseamnă, etimologic, *suflu, suflare.*

[327] Adică: traiul, viața, purtarea, conduita.

καταλιπὼν τὸν θολερὸν τοῦτον καὶ αὐχμώδη βίον, ἐπειδὰν τῇ δυνάμει τοῦ Πνεύματος φωτοειδὴς γένηται καὶ ἐμμιχθῇ τῇ ἀληθινῇ καὶ ὑψηλῇ καθαρότητι, διαφαίνεταί πως καὶ αὐτὸς ἐν ἐκείνῃ καὶ ἀκτίνων ἐμπίπλαται καὶ φῶς γίνεται κατὰ τὴν τοῦ Κυρίου ὑπόσχεσιν, ὃς τοὺς δικαίους λάμψειν ὡς ὁ ἥλιος ἐπηγγείλατο». Τοῦτο καὶ ἐπὶ γῆς ὁρῶμεν γινόμενον ἐπὶ κατόπτρου ἢ ὕδατος· δεξάμενα γὰρ τὴν τοῦ ἡλίου ἀκτῖνα, ἄλλην ἀφ' ἑαυτῶν ἀκτῖνα ποιεῖ. Καὶ ἡμεῖς τοίνυν, εἴτε καταλιπόντες τὸ περίγειον σκότος ἄνω γενοίμεθα, φωτοειδεῖς γενησόμεθα, τῷ ἀληθινῷ φωτὶ τοῦ Χριστοῦ ἐμπελάσαντες, εἴτε τὸ φῶς τὸ ἀληθινόν, «τὸ ἐν τῇ σκοτίᾳ λάμπον», καὶ μέχρις ἡμῶν καταβαίη, καὶ ἡμεῖς φῶς ἐσόμεθα, καθά πού φησι τοῖς μαθηταῖς ὁ Κύριος. Οὕτως ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος φῶς ἐστιν ἀπόῤῥητον καὶ φῶς ποιεῖ θεῖον τοὺς πλουτήσαντας αὐτήν, οὐ φωτὸς μόνον πληρώσασα τούτους ἀϊδίου, ἀλλὰ καὶ γνῶσιν καὶ ζωὴν θεοπρεπῆ χαρισαμένη. Οὕτως ὁ Παῦλος οὐκέτι τὴν κτιστὴν ζωήν, ἀλλὰ «τὴν τοῦ ἐνοικήσαντος ἀΐδιον ζωήν» κατὰ τὸν θεῖον ἔζη Μάξιμον· οὕτως οἱ προφῆται ὡς ὄντα ἑώρων τὰ μήπω γεγονότα· οὕτως εἶδε τὸν Θεὸν ὅστις οὐκ ἀλλοτρίῳ, ἀλλὰ φυσικῷ συμβόλῳ πνευματικῶς ἑώρακεν αὐτόν· οὐ φυσικὸν δὲ λέγω σύμβολον Θεοῦ – ὃ καὶ τοῦτ' αὐτὸ μόνον σύμβολόν ἐστιν – ὅπερ ἂν αἰσθήσει ᾗ αἰσθήσει βλέπηταί τε ἢ ἀκούηται καὶ δι' ἀέρος ἐνεργῆται· ἐπεί, ὅταν ὀφθαλμὸς ὁρῶν οὐχ ὡς ὀφθαλμὸς ὁρᾷ, ἀλλ' ὡς

[328] Literal: uscată, seacă.
[329] «aceasta în aceea»: mintea în curăție.
[330] *Matei* 13, 43.
[331] Grigorie al Nyssei, *Despre feciorie* 11, 4, PG 46, 365 D–368 A.
[332] Adică: de i-am îngădui să coboare, făcându-i loc înlăuntrul nostru.
[333] *Ioan* 1, 5.
[334] *Matei* 5, 14-16.
[335] «astfel»: în înțelesul acesta.

şi prăfoasă[328], luminoasă făcându-se [ea] cu puterea Duhului şi amestecându-se cu înalta şi adevărata curăţie, se străvede cumva şi aceasta în aceea[329] şi se umple de raze şi se face lumină, după făgăduinţa Domnului, Care a spus că drepţii vor străluci ca soarele[330]»[331]. Lucrul acesta îl vedem petrecându-se şi pe pământ, în oglindă sau în apă; că primind [ele] raza soarelui, nasc altă rază [ce porneşte] de la ele însele. Şi noi, dar, de părăsim întunericul dimprejurul pământului, înălţându-ne sus, luminoşi ne vom face, ajungând lângă lumina cea neapropiată; de coboară şi până la noi lumina cea adevărată[332], «cea care străluceşte în întuneric»[333], şí noi vom fi lumină, după cum zice undeva ucenicilor Domnul[334]. Astfel[335] este lumină negrăită darea îndumnezeitoare a Duhului şi [astfel] îi face lumină dumnezeiască pe cei ce au câştigat-o pe aceasta[336], nu doar umplându-i pe aceştia de lumina cea veşnică, ci şi cunoaştere şi viaţă dăruindu-le. Astfel nu mai trăia Pavel viaţa cea zidită, ci – după [cum spune] dumnezeiescul Maxim – «pe viaţa veşnică a Celui sălăşluit [în el]»[337]; astfel vedeau prorócii cele încă nepetrecute[338] ca pe unele ce sînt; astfel L-a cunoscut pe Dumnezeu cel ce duhovniceşte L-a văzut pe El prin simbol nu străin [de Cel simbolizat], ci firesc[339] (iar *simbol firesc al lui Dumnezeu* – şi care doar acesta [Îi] este simbol – nu numesc ceea ce s-ar vedea ori s-ar auzi cu simţirea ca simţire [şi atât][340] ori s-ar lucra prin văzduh); fiindcă, atunci când ochiul, văzând, nu ca [unul ce este] ochi vede, ci ca [unul ce a fost] deschis de puterea Duhului, nu prin simbol

[336] Literal: pe cei ce s-au îmbogăţit cu ea.
[337] *Ambigua*, PG 91, 1144 BC. Vezi *Galateni* 2, 20.
[338] Literal: nefăcute.
[339] Adică: natural (al 'naturii divine'), al firii dumnezeieşti.
[340] «simţirea ca simţire»: simţirea lucrând în hotarele ei, după legile ei.

τῇ δυνάμει τοῦ Πνεύματος διανοιχθείς, οὐκ ἀλλοτρίῳ συμβόλῳ τὸν Θεὸν ὁρᾷ, καὶ τοῦθ' ἡμεῖς αἴσθησιν ὑπὲρ αἴσθησίν φαμεν.

[36] Γνώρισμα μέντοι τοῦ φωτὸς ἐκείνου, κατάπαυσις τῶν μὴ καλῶν ἡδονῶν τε καὶ παθῶν ἐγγινομένη τῇ ψυχῇ, λογισμῶν εἰρήνη καὶ κατάστασις, ἀνάπαυσις καὶ χαρὰ πνευματική, περιφρονήσις ἀνθρώπων δόξης, ταπείνωσις ἀγαλλιάσει ἀποῤῥήτῳ συνημμένη, κόσμου μῖσος, οὐρανίων ἔρως, μᾶλλον δὲ μόνου τοῦ Θεοῦ τῶν οὐρανῶν· πρὸς δὲ τούτοις, εἰ καὶ τοὺς ὀφθαλμοὺς τοῦ βλέποντος οὐ περικαλύψειέ τις τηνικαῦτα μόνον, ἀλλὰ καὶ ἐξορύξειεν, οὐδὲν ἧττον τηλαυγῶς ὁρᾷ τὸ φῶς. Πῶς ἂν οὖν πεισθείη τις τῷ δι' ἀέρος ὁρατὸν τοῦτο ἀποφαινομένῳ καὶ κατὰ μηδὲν λογικῇ ψυχῇ λυσιτελές, ὡς ταῖς σωματικαῖς αἰσθήσεσι προσῆκον; Ἀλλ' ὁ θεατὴς ἐκεῖνος, νοῶν ὡς οὐ τῇ αἰσθήσει ᾗ αἰσθήσει θεώμενός ἐστι, νῷ οἴεται ὁρᾶν· ἐξετάζων δὲ καὶ ἀνασκοπούμενος, οὐδ' ἐκεῖνον εὑρίσκει περὶ τὸ φῶς ἐκεῖνο ἐνεργοῦντα· καὶ τοῦτ' ἔστιν ὃ 'νόησιν ὑπὲρ νόησίν' φαμεν, τοῦτο διὰ τούτων λέγοντες, ὡς ὁ ἔχων νοῦν καὶ αἴσθησιν ὁρᾷ, ὑπὲρ ταῦτα δὲ ἀμφότερα. Μὴ μέντοι τοῦ μεγάλου Διονυσίου πρὸς Τιμόθεον λέγοντος ἀκούων, ὡς «τὰς αἰσθήσεις κατάλιπε καὶ τὰς νοερὰς ἐνεργείας καὶ πρὸς τὸ ὄντως ὂν ἀνατάθητι», μὴ δύνασθαι λογίσῃ τότε τὸν ἄνθρωπον διανοεῖσθαι ἢ ὁρᾶν (οὐ γὰρ ἀποβολὴν πάσχει τούτων τῶν δυνάμεων, εἰ μὴ κατ' ἔκπληξιν), τοῦ δὲ κατὰ τὴν ἕνωσιν φωτὸς καὶ τῆς κατὰ τοῦτο ἐνεργείας τὰς νοερὰς ἐνεργείας παντάπασιν

[341] Literal: proprietate, semn distinctiv.
[342] Adică: a slavei venite de la oameni.
[343] Vezi şi *Triade* 1, 3, 48; pasajul este tributar sfântului Macarie cel Mare (*Despre răbdare* 13, PG 34, 846 BC).
[344] A se vedea mai sus cuvintele lui Varlaam, în paragraful 11.

străin [de Cel simbolizat] Îl vede pe Dumnezeu; iar aceasta este ceea ce numim [noi] *simțire mai-presus-de-simțire*.

[36] Iar semn al luminii aceleia[341] [este] contenirea ne-bunelor plăceri şi patimi, cea făcută în suflet, pacea şi [bună-]aşezarea gândurilor, odihnă şi bucurie duhovnicească, disprețuirea slavei oamenilor[342], smerenie unită cu negrăită veselie, urârea lumii, dragostea de cele cereşti, mai bine zis [dragostea] de singur Dumnezeul cerurilor[343]. Pe lângă acestea, nu doar de i-ar acoperi atunci cineva ochii celui ce vede, ci şi de i-ar scoate, [în chip] nu mai puțin strălucitor vede lumina; cum, deci, să dea cineva crezare celui ce declară că [nu altcum decât] prin aer e văzută [lumina] aceasta şi [că] întru nimic nu este folositoare sufletului rațional, ca una ce ține de simțirile trupeşti[344]? Văzătorul acela, însă, înțelegând că nu cu simțirea ca simțire [şi atât] vede [el lumina aceea], socoate a o vedea cu mintea; dar cercetând şi scrutând, nici pe aceea[345] nu o află lucrând legat de lumina aceea; iar aceasta este ceea ce numim [noi] *înțelegere mai-presus-de-înțelegere*, aceasta zicând-o datorită acestora, [şi anume dat fiind] că cel ce are minte şi simțire *vede*, dar [vede] mai presus de amândouă acestea. Aşadar, auzindu-l [tu] pe marele Dionisie zicând lui Timothei «părăseşte simțirile şi lucrările înțelegătoare şi înalță-te la ceea ce este cu adevărat»[346], nu socoti că omul nu [mai] poate atunci[347] cugeta ori vedea (că [doar] nu pierde puterile acestea, ci [doar încetează lucrarea lor] din pricina uimirii), ci învață că trebuie a părăsi cu totul – la vremea unirii cu lumina şi cu lucrarea ei cea în privința aceasta – lucrările înțelegătoare

[345] «nici pe aceea»: nici mintea.
[346] *Despre teologia mistică* 1, 1, PG 3, 997.
[347] «atunci»: după ce a părăsit simțirile şi lucrările minții.

ἀπολιμπάνεσθαι διδάσκου. Καὶ τοῦτο δείκνυσι σαφῶς ὁ κορυφαῖος καὶ θεμέλιος τῆς Ἐκκλησίας Πέτρος. Κατὰ γὰρ τὴν ὥραν τῆς ἱερᾶς Πεντηκοστῆς ἐκείνην, καθ' ἣν τῆς ἀποῤῥήτου καὶ θείας ἠξιοῦτο ἑνώσεως, καὶ τοὺς συμπεφωτισμένους ᾔδει καὶ τοὺς συνειλεγμένους ἑώρα καὶ τῶν πρὸς αὐτῶν λεγομένων ἠκροᾶτο καὶ τοῦ διαστήματος τῆς ἡμέρας ἐπῃσθάνετο· «τρίτη» γάρ, φησίν, «ἐστὶν ὥρα τῆς ἡμέρας». «Τὸ γὰρ ἐπικαλυπτομένου τοῦ ἀνθρωπίνου νοῦ παρὰ τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος ἐξεστηκότας τοὺς ἐνεργομένους γίνεσθαι παρὰ τὴν ἐπαγγελίαν ἐστὶ τῆς θείας ἐπιδημίας. Οὐ γὰρ ἔκφρων γίνεται ὁ θεόληπτος· ὅλως δέ, τίνα λόγον ἔχει ἐκ τοῦ τῆς σοφίας Πνεύματος μεμηνότι παραπλήσιον γίνεσθαι»; τὸ φῶς γὰρ τοῦτο σοφία ἐστὶ Θεοῦ, ἐγγινομένη τῷ τεθεωμένῳ καὶ μὴ χωριζομένη τοῦ Θεοῦ («δι' αὐτοῦ» γάρ, φησί, «πᾶσα γνῶσις ἀποκαλύπτεται καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ φιλουμένῃ ψυχῇ γνωρίζεται»), ἀλλὰ καὶ δικαιοσύνη καὶ ἁγιότης καὶ ἐλευθερία. Ἄκουσον Παύλου, «ὅπου τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία»· καὶ πάλιν· «ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις». Ἄκουσον τοῦ μεγάλου Βασιλείου, «τὸ κινηθὲν ὑπὸ Πνεύματος ἁγίου κίνησιν ἀΐδιον, ζῶον ἅγιον ἐγένετο· ἔσχε δὲ ἀξίαν ἄνθρωπος, Πνεύματος εἰσοικισθέντος ἐν αὐτῷ, προφήτου, ἀποστόλου, ἀγγέλου, θεοῦ, ὢν πρότερον 'γῆ καὶ σποδός'». Ἄκουσον τοῦ χρυσοῦ τὴν γλῶτταν Ἰωάννου, «τὸ στόμα δι' οὗ ὁ Θεὸς φθέγγεται στόμα ἐστὶ Θεοῦ· καθάπερ γὰρ

[348] «aceasta»: faptul că văzătorul luminii nu pierde facultatea de a vedea şi pe cea de a cugeta.
[349] *Fapte* 2, 15.
[350] «dumnezeieştii veniri»: venirii de faţă a lui Dumnezeu.
[351] Vasile cel Mare, *[Comentariu] la Isaia*, proimion, PG 30, 125 B. Vezi şi Procopie din Gaza, *[Comentariu] la Isaia*, PG 87, 1817 A.

[ale minții]. Iar aceasta[348] o arată limpede vârhovnicul şi temelia Bisericii, Petru. Că la ceasul sfintei Cincizecimii aceleia, pe când se învrednicea de negrăita şi dumnezeiasca unire, şí de cei împreună-luminați ştia, şí pe cei împreună-aleşi îi vedea, şí auzea cele zise de către ei, şí ceasul zilei îl ştia; «că este» – zice – «al treilea ceas al zilei»[349]. «Că [faptul de] a ajunge ieşiți [din minți] cei lucrați de lucrarea Duhului, când mintea le este acoperită cu totul de lucrarea aceasta – [lucrul acesta] e potrivnic făgăduinței dumnezeieştii veniri[350]; că nu ieşit-din-minți ajunge cel luat-de-Dumnezeu [în stăpânirea Lui]; şi apoi, cum ar fi cu putință ca – din [înrâurirea adusă de] Duhul înțelepciunii – a ajunge nebun?»[351]; că lumina aceasta e înțelepciunea lui Dumnezeu, [înțelepciune] care vine în cel îndumnezeit şi nu se desparte de Dumnezeu (că «prin aceasta» zice «se descoperă toată cunoaşterea şi Se face cunoscut cu adevărat Dumnezeu sufletului iubitor [de El]»[352]), dar şi dreptate şi sfințire şi slobozenie. Auzi-l pe Pavel: «unde [e] Duhul – acolo [e] slobozenia»[353]; şi iarăşi: «Cel ce S-a făcut nouă înțelepciune de la Dumnezeu şi dreptate şi sfințire şi izbăvire»[354]. Auzi-l pe marele Vasile: «ceea ce este mişcat de Duhul sfânt mişcare veşnică – vietate sfântă s-a făcut; şi a luat omul, sălăşluindu-se Duhul înlăuntrul lui, vrednicie de proroc, de apostol, de înger, de dumnezeu – [el,] cel [ce] mai înainte [era] pământ şi cenuşă[355]»[356]. Auzi-l pe Ioan cel cu gura de aur: «gura prin care vorbeşte Dumnezeu – gură a lui Dumnezeu

[352] Macarie cel Mare, *Despre libertatea minții* 23, PG 34, 957 B.
[353] *II Corinteni* 3, 17.
[354] *I Corinteni* 1, 30.
[355] *Facerea* 18, 27.
[356] *Contra lui Eunomiu* 5, PG 29, 769 B; vezi şi *Epistola a III^a^ către Achindin* 17 a sfântului Grigorie Palama (*Opere complete* II, G.A., p. 317).

τοῦτο τὸ στόμα τῆς ψυχῆς ἡμῶν ἐστι, καίτοι ψυχῆς οὐκ ἐχούσης στόμα, οὕτω καὶ τὸ στόμα τῶν προφητῶν στόμα ἐστὶ Θεοῦ». Ἄκουσον ἐπισφραγιζομένου ταῦτα τοῦ Κυρίου· μετὰ γὰρ τὸ εἰπεῖν «δώσω ἡμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν», ἐπήνεγκεν· «οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν».

[37] Ταύτῃ γοῦν τῇ σοφίᾳ χρήσασθαι κακῶς οὐκ ἔνι. Καὶ τί λέγω χρήσασθαι; καὶ γὰρ οὐδὲ κτήσασθαι ταύτην ἔνι τὴν ἀρχὴν μὴ προκαθηράμενον διὰ πράξεως· καὶ τοῦτό ἐστι τὸ παρὰ τοῦ σοφοῦ Σολομῶντος λεγόμενον, ὅτι «εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας»· εἰ γὰρ καὶ φθάσει τὴν ἀρχὴν ἡμῖν ἐνῳκισμένη ταῖς εἰσαγωγικαῖς καλῶς κεχρημένοις ἀρεταῖς, μεταβαλλόντων ἡμῶν ἐπὶ τὸ χεῖρον ἀφίπταται. «Πνεῦμα γὰρ ἅγιον παιδείας ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων», κατὰ τὸν αὐτὸν Σολομῶντα. Τὴν δ' ἐκ φύσεώς τε καὶ μαθήσεως σοφίαν κτήσαιτ' ἄν τις καὶ τῶν τοὺς τρόπους πονηρῶν καὶ χρήσαιτ' ἂν ταύτῃ καταλλήλως τοῖς τρόποις, ὥσπερ καὶ τῇ φύσει. Τοσοῦτο γοῦν αὕτη τῆς πνευματικῆς σοφίας ἀποδεῖ, ὁπόσον καὶ τοῦ Πνεύματος ἡ φύσις. Ποῦ τοιγαροῦν εἰσιν οἱ λέγοντες ὅτι διὰ μαθήσεως τὴν τῶν προφητῶν καὶ ἀποστόλων σοφίαν κτώμεθα;

[38] Ὅτι δὲ διὰ τοῦ φωτὸς ἐκείνου καὶ ἡ πνευματικὴ σοφία δίδοται, σύνδυο κατὰ ταὐτὸν λεγόντων ἄκουσον.

[357] Referitor la aceasta vezi *La Isaia* 1, PG 56, 13 şi urm.
[358] *Luca* 21, 15.
[359] *Matei* 10, 20.
[360] Adică viclean.
[361] *Înţelepciunea lui Solomon* 1, 4.
[362] Literal: nepricepute.

este; că, precum gura aceasta [a noastră] este gură a sufletului (măcar că sufletul nu are gură), tot aşa şi gura proorocilor este gură a lui Dumnezeu»[357]. Auzi-L pe Domnul [Însuşi] pecetluind [spusele] acestea; că, după ce zice «voi da vouă gură şi înţelepciune căreia nu vor putea grăi-împotrivă – nici sta împotrivă – cei ce stau împotriva voastră»[358], a adăugat: «că nu voi sînteţi cei ce grăiţi, ci Duhul Tatălui vostru, Cel ce grăieşte în[tru] voi»[359].

[37] Iar înţelepciunea aceasta nu e cu putinţă a fi folosită [în chip] rău. Şi ce zic [eu] 'a fi folosită'? – că nici a fi dobândită nu e cu putinţă celor ce mai întâi nu s-au curăţit prin făptuire; iar aceasta e ceea ce s-a zis de către înţeleptul Solomón, [cum] că «în sufletul [cel] cu-rău-meşteşug[360] nu va intra înţelepciunea, nici [nu] va locui în trupul datornic păcatului»[361]; că şi de ne întâmpină la început, sălăşluindu-se în cei ce bine ne folosim de virtuţile începătoare, schimbându-ne [noi mai apoi] în rău, îşi ia zborul. Că «Duhul sfânt al învăţăturii Se va ridica de la gândurile neînţelepte[362]», după acelaşi Solomón[363]. Pe când înţelepciunea cea din fire[364] şi din şcolire o poate dobândi şí vreunul din cei cu purtări viclene şi [chiar] o poate folosi potrivit purtărilor acestora, după cum şi de fire [tot aşa se foloseşte]. Iar aceasta e [tot atât de] departe de înţelepciunea duhovnicească pe cât e şi firea de Duhul. Unde sînt, dar, cei ce spun că prin şcolire dobândim înţelepciunea proorocilor şi apostolilor?

[38] Iar [cum] că prin lumina aceea se dă şi înţelepciunea duhovnicească – auzi-i laolaltă pe doi[365], acelaşi

[363] *Înţelepciunea lui Solomon* 1, 5.

[364] «înţelepciunea cea din fire»: cea sădită în firea omului.

[365] Vezi Macarie cel mare (şi, totodată, Simeon Metafrastul, tălmăcitorul lui), *Despre libertatea minţii* 23, PG 34, 957 AB. Vezi, mai sus, şi paragraful 36.

«Τῷ γὰρ μακαρίῳ», φησί, «Παύλῳ τὸ ἐλλάμψαν ἐν τῇ ὁδῷ φῶς, δι' οὗ καὶ εἰς τρίτον οὐρανὸν ἥρται καὶ μυστηρίων ἀλαλήτων ἀκουστὴς ἐγένετο, οὐ νοημάτων τις καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ' ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τὴν ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ διηνεγκότες ἀπετυφλώθησαν, δι' οὗ πᾶσά γε γνῶσις ἀποκαλύπτεται καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ ἀξίᾳ καὶ φιλουμένῃ ψυχῇ γνωρίζεται». Τοῦτο τὸ φῶς καὶ ζωή ἐστιν ἀΐδιος, ἐνιεμένη τῷ τεθεωμένῳ καὶ μὴ χωριζομένη τοῦ Θεοῦ. Οὕτως ὁ Παῦλος ἔλεγε· «ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Οὕτω περὶ τοῦ Παύλου Μάξιμός φησιν, ὡς «τὴν ἐνοικήσαντος ἔζη θείαν καὶ ἀΐδιον ζωήν». Οὕτω Βασίλειος ὁ μέγας εἶπεν· «ἣν ζωὴν εἰς ἑτέρου ὑπόστασιν προΐεται τὸ Πνεῦμα, οὐ χωρίζεται αὐτοῦ, ἀλλ' ὥσπερ πυρός, τὸ μὲν ἔστιν ἡ συνοῦσα θερμότης, τὸ δὲ ἣν παρέχει τῷ ὕδατι ἢ ἑτέρῳ τινὶ τῶν τοιούτων, οὕτω καὶ αὐτὸ καὶ ἐν ἑαυτῷ ἔχει τὴν ζωὴν καὶ οἱ μετέχοντες αὐτοῦ ζῶσι θεοπρεπῶς, ζωὴν θείαν καὶ οὐράνιον κεκτημένοι». Αὕτη ἐστὶν ἡ ζωὴ ἣν οὗτος ἀλλαχοῦ «κίνησιν» προσεῖπε «πνευματικὴν καὶ ἀΐδιον», καὶ τὸν μετασχόντα ταύτης ἅγιον τελέσαι, «γῆν ὄντα καὶ πηλὸν πρότερον». Ποῦ εἰσιν οἱ λέγοντες κτιστὴν τὴν θεουργὸν χάριν τοῦ Θεοῦ καὶ μηδὲν πλὴν τῆς ὑπερουσιότητος αὐτοῦ ἀΐδιον;

---

[366] *II Corinteni* 12, 2 şi urm.
[367] Adică veşnică.
[368] Literal: în-pusă.
[369] Adică 'în înţelesul acesta'; vezi şi paragraful 35.
[370] *Galateni* 2, 20.
[371] *Ambigua*, PG 91, 1144 BC. Vezi şi *Capete felurite* 5, 85, PG 90, 1384 D. Vezi şi paragraful 35.

lucru zicându-l. Că «lumina» – zice – «care i-a strălucit pe cale fericitului Pavel, prin carea s-a şi ridicat la al treilea cer şi s-a şi făcut auzitor de taine negrăite[366], nu era vreo luminare de înţelesuri şi [luminare] a cunoaşterii, ci după ipostas strălucire în suflet a puterii Duhului bun, [lumină] a căreia covârşitoare lucire neputând-o purta ochii trupului, au orbit; [lumină] prin care toată cunoaşterea se descoperă şi Se face cunoscut cu adevărat Dumnezeu sufletului iubitor [de El]». Lumina aceasta este [totodată] şi viaţă de-a pururea[367], însuflată[368] în cel îndumnezeit şi nedespărţită de Dumnezeu. Astfel[369] zicea Pavel «nu mai trăiesc eu, ci Hristos trăieşte în mine»[370]. Astfel zice Maxim despre Pavel cum [că] «trăia dumnezeiasca şi veşnica viaţă a Celui sălăşluit [în el]»[371]. Astfel Vasile cel mare a zis [că] «viaţa pe care Duhul o trimite[372] în ipostasul altuia – [aceasta] nu se desparte de El, ci precum a focului este, pe de o parte, şí căldura ce îl însoţeşte, dar – pe de alta – şí cea pe care o dă apei sau altcuiva de felul acesta[373], tot aşa şí Acesta are – pe de o parte – în Sine viaţa, şi – pe de alta – şí părtaşii de El vieţuiesc dumnezeieşte, viaţă dumnezeiască şi cerească dobândind [ei]»[374]. Aceasta este viaţa pe care acesta altundeva a numit-o 'mişcare duhovnicească şi veşnică', iar [despre] cel părtaş de ea [a spus că] ajunge sfânt, 'cel [ce] mai înainte [era] pământ şi ţărână'[375]. Unde sînt cei ce spun că harul lui Dumnezeu e creat şi că nimic nu e veşnic afară de mai-presus-de-fiinţa Lui [fiinţă]?

---

[372] Literal: o proiectează; vezi, mai sus, şi paragraful 8.
[373] Adică: altui element.
[374] *Contra lui Eunomiu* 5, PG 29, 772 BC.
[375] *Ibidem*, 769 B. Vezi şi paragraful 36; vezi şi *Facerea* 18, 27.

[39] Ἀλλ' ἐρεῖ τις ζωὴν λέγειν τοῦτον ἀΐδιον, ἀλλ' οὐχὶ φῶς; Ἀλλ' οἱ λέγοντες ἔλλαμψιν ἀΐδιον καὶ δόξαν ὁρατὴν ἀΐδιον φῶς δήπου λέγουσιν ἀΐδιον τοῖς ἁγίοις μόνοις μεθεκτόν. Ὅτι δὲ καὶ ὁ μέγας Βασίλειος φῶς οἶδε τοῖς τοιούτοις μεθεκτόν, νοερόν, προκόσμιόν τε καὶ ὑπερκόσμιον, εἴσῃ σαφῶς τὴν *Ἑξαήμερον* αὐτοῦ μετὰ χεῖρας λαβών· «λογιζόμεθα» γάρ, φησίν, «ὅτι, εἴπερ τι ἦν πρὸ τῆς τοῦ αἰσθητοῦ τούτου καὶ φθαρτοῦ κόσμου συστάσεως, ἐν φωτὶ ἂν ἦν δηλονότι· οὔτε γὰρ αἱ τῶν ἀγγέλων ἀξίαι, οὔτε πᾶσαι αἱ ἐπουράνιαι στρατιαί, οὔτε ὅλως εἴ τί ἐστιν ὠνομασμένον ἢ ἀκατονόμαστον τῶν λογικῶν φύσεων καὶ τῶν λειτουργικῶν πνευμάτων ἐν σκότῳ διῆγε». Διὸ καὶ ἡμῖν ὁ αὐτὸς ἐπεύχεται ἐκεῖ λέγων· «ὁ Πατὴρ τοῦ ἀληθινοῦ φωτός, ὁ τὴν ἡμέραν κοσμήσας τῷ οὐρανίῳ φωτί, ὁ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός, ὁ τοῦ μέλλοντος αἰῶνος τὴν ἀνάπαυσιν εὐτρεπίσας τῷ νοερῷ καὶ ἀπαύστῳ φωτί, φωτίσειεν ἡμῶν τὰς καρδίας ἐν ἐπιγνώσει τῆς ἀληθείας».

[40] Ὅτι δὲ τὸ νοερὸν τοῦτο καὶ προκόσμιον καὶ ἄπαυστον φῶς αὐτός ἐστιν ὁ Θεός, Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος σαφῶς ἐξεῖπε· «βουληθείς» γάρ, φησίν, «ὁ Θεὸς τόνδε τὸν κόσμον συστήσασθαι, τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς, οὐκ ἄλλο· τί γὰρ ἔδει φωτὸς ἑτέρου τοῖς τὸ μέγιστον ἔχουσι;». Τοῦτο δὴ τὸ φῶς καὶ πῦρ ἐστι θεῖον καὶ ἄϋλον, ψυχὰς φωτίζειν πεφυκός. Τοῦτο γάρ, κατὰ τὸν μέγαν αὖθις φάναι Βασίλειον, κἂν τοῖς ἀποστόλοις ἐνήργησεν, ἡνίκα ἐλάλουν πυρίναις γλώσσαις, ὃ καὶ Παῦλον περιλάμψαν, τὴν μὲν αἴσθησιν τῆς ὄψεως

[376] Sfântul Vasile cel Mare, adică.
[377] «aceea»: ceea ce Duhul trimite în ipostasul altuia.
[378] Adică: cetele Îngerilor, alcătuite potrivit rangurilor îngereşti.
[379] *La Exaimeron* 2, 5, PG 29, 40 C.
[380] *La Exaimeron* 2, 8, PG 29, 52 B.
[381] *Cuvântul* 44, 3, PG 36, 609 BC.
[382] *Fapte* 2, 3 şi urm.

[39] Dar [poate] cineva ar zice că acesta[376] a spus [că aceea[377] e] 'viață veşnică', dar nu lumină [veşnică]. Bine, dar cei ce spun 'strălucire veşnică' şi 'slavă veşnică văzută', [aceştia] fără îndoială că vorbesc despre lumina veşnică cea doar sfinților împărtăşită. Iar că şí marele Vasile [tot] lumină ştie a fi cea împărtăşită acestora – [şi anume lumină] înțelegătoare, dinainte-de-lume şi mai-presus-de-lume – [aceasta o] vei cunoaşte limpede de vei lua [şi vei citi] *Exaimeron*-ul lui; că «socotim» – zice [el acolo] – «că orice era înaintea alcătuirii lumii acesteia simțite [trupeşte] şi stricăcioase, [nu altcum decât] în lumină era [lucrul acela]; că nu în întuneric petreceau vredniciile îngerilor[378], nici toate oştirile cereşti, nici oricare altul – numit ori nenumit – din firile cuvântătoare şi duhurile slujitoare»[379]; [fapt] pentru care tot el se şi roagă pentru noi zicând: «Părintele Luminii celei adevărate, Cela ce ai împodobit ziua cu cereasca lumină, Cela ce noaptea ai luminat-o cu strălucirile focului, Cela ce odihna veacului ce va să fie o ai rânduit [a fi] întru înțelegătoarea şi necurmata lumină, [să] lumineze inimile voastre întru cunoştința adevărului»[380].

[40] Iar că lumina aceasta cea înțelegătoare şi mai-înainte-de-lume şi necurmată este Însuşi Dumnezeu – [aceasta] a spus-o limpede Grigorie cel de-un-nume cu teologia; că «vrând Dumnezeu» – zice – «a alcătui lumea aceasta cea de aici, [făpturilor] celor veşnice, pe de o parte, [El] Însuşi – şi nu altceva – le este lumină; că ce trebuință de altă lumină le-ar fi celor ce o au pe cea preamare?»[381]. Lumina aceasta, deci, este şí foc dumnezeiesc şi nematerial, căruia îi e dat a lumina sufletele. Că aceasta – ca să zicem iarăşi ca marele Vasile – a lucrat şi în Apostoli, când vorbeau cu limbi de foc[382], [cea] care şí lui Pavel, împrejur-strălucindu-i, simțul văzului i l-a

αὐτοῦ ἡμαύρωσε, τοὺς δὲ ὀφθαλμοὺς τῆς καρδίας ἐφώτισεν· οὐ γὰρ χωρεῖ σαρκὸς ὅρασις ἐκείνου τοῦ φωτὸς τὴν δύναμιν. Τοῦτο τὸ πῦρ ὤφθη Μωϋσῇ ἐν τῇ βάτῳ· τοῦτο ἐν εἴδει ὀχήματος τὸν Ἠλίαν ἐκ τῆς γῆς ἀνήρπασε· τούτου τοῦ πυρὸς τὴν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαυὶδ ἔλεγε, «δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου». Τοῦτο τὸ πῦρ τὴν καρδίαν Κλεόπα καὶ τοῦ σὺν αὐτῷ ἐθέρμανε, λαλοῦντος τοῦ σωτῆρος αὐτοῖς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. Καὶ οἱ ἄγγελοι δὲ καὶ τὰ λειτουργικὰ πνεύματα τούτου τοῦ πυρὸς μετέχουσι κατὰ τὸ γεγραμμένον· «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα». Τοῦτο τὸ πῦρ τὴν ἐν τῷ ὀφθαλμῷ δοκὸν κατακαῖον, καθαρὸν τὸν νοῦν ἀποκαθίστησιν, ἵνα τὸ κατὰ φύσιν ἀπολαβὼν διορατικὸν μὴ τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κάρφος ὁρᾷ, ἀλλὰ διηνεκῶς τὰ τοῦ Θεοῦ θαυμάσια κατανοῇ κατὰ τὸν λέγοντα· «ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου». Τοῦτο τὸ πῦρ δαιμόνων ἐστὶ φυγαδευτήριον καὶ κακίας πάσης ἀναλωτικόν, ἁμαρτίας ἀναιρετικόν, ἀναστάσεως δύναμις καὶ ἀθανασίας ἐνέργεια, ψυχῶν ἁγίων φωτισμὸς καὶ λογικῶν δυνάμεων σύστασις. Τοῦτο καὶ ἡμεῖς εὐξώμεθα φθάσαι καὶ εἰς ἡμᾶς, ἵνα πάντοτε ἐν τῷ φωτὶ περιπατοῦντες, μηδέποτε κἂν πρὸς βραχὺ προσκόψωμεν.

[41] Ὁ δὲ Χρυσόστομος θεολόγος, διδάσκων τί ἐστι τὸ φῶς, ὃ «ῥαγήσεται πρώϊμον» τῷ ἐλεοῦντι, «οὐ τοῦτο», φησίν, «ἐστὶ τὸ αἰσθητόν, ἀλλ' ἕτερον πολλῷ βέλτιον, ὃ τὸν οὐρανὸν ἡμῖν δείκνυσι καὶ τοὺς ἀγγέλους καὶ τὰς αὐλὰς τὰς βασιλικάς· ἂν γὰρ τοῦ φωτὸς τούτου

[383] *Fapte* 9, 3 şi urm. [384] *Ieşirea* 3, 2. [385] *IV Împăraţi* 2, 11.
[386] Aici verbul *a ispiti* înseamnă *a proba*. [387] *Psalmii* 25, 2.

Μάξιμος δὲ ὁ θεῖος, «ἡ ἀγαθότης», φησί, «καὶ πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ καὶ ἁπλῶς πᾶσα ζωὴ καὶ ἀθανασία καὶ ὅσα περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρεῖται ἔργα Θεοῦ εἰσι καὶ οὐκ ἠργμένα χρονικῶς· οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τὸ 'οὐκ ἦν', οὐδέ τινος ἄλλου τῶν εἰρημένων, κἂν τὰ μετέχοντα αὐτῶν κατ' αὐτὰ ἤρκται τοῦ εἶναι χρονικῶς». Οὐδὲν ἄρα τῶν τοιούτων οὐσία τοῦ Θεοῦ ἐστιν, οὔτε ἡ ἄκτιστος ἀγαθότης, οὔτε ἡ ἄναρχος καὶ ἀΐδιος ζωή· οὐ γὰρ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν τοιαῦτα πάντ' ἔστιν.

[10] Ἔτι κοινῇ πάντες οἱ ἅγιοι πατέρες ἐπὶ τῆς ἀκτίστου φασὶ Τριάδος οὐκ ἔστιν εὑρεῖν ὄνομα τῆς φύσεως δηλωτικόν, τῶν δὲ ἐνεργειῶν ἐστι τὰ ὀνόματα. Καὶ γὰρ 'ἡ θεότης' ἐνεργείας ἐστὶ δηλωτικόν, τὸ θέειν ἢ τὸ θεᾶσθαι ἢ τὸ αἴθειν ἢ τὴν αὐτοθέωσιν δηλοῦν· ταὐτὸ δὲ τῷ ὀνομαζομένῳ τὸ ὑπερώνυμον οὐκ ἔστιν· οὐ ταὐτὸ ἄρα οὐσία καὶ ἐνέργεια Θεοῦ. Εἰ δὲ ἡ τοῦ Θεοῦ θεότης κυρίως τὴν τοῦ Θεοῦ ἐνέργειαν δηλοῖ, κτισταὶ δέ εἰσιν αὗται κατὰ σέ, κτιστή ἐστι κατὰ σὲ καὶ ἡ θεότης τοῦ Θεοῦ. Ἀλλ' οὐ μόνον ἄκτιστος ἀλλὰ καὶ ἄναρχος· οὐ γὰρ ἤρξατό ποτε τοῦ θεᾶσθαι τὰ ὄντα ὁ εἰδὼς τὰ πάντα

[493] *Împotriva lui Eunomiu I*, 8, PG 29, 528 B; citat şi de Marcu Evghenicul în antireticele scrise în apărarea sfântului Grigorie Palama (*Opere* II, GA, p. 118-119).

[494] «văzute»: cu mintea, discursiv sau nediscursiv.

[495] *Capete teologice I*, 48, PG 90, 1100 D.

[496] Vezi Marcu Evghenicul, *Al doilea cuvânt antiretic*, *Opere* II, GA, 334-5.

[497] Vezi, de pildă, Ioan Damaschinul, *Dogmatica* 9, 14-17: «numele de 'dumnezeu' se zice că vine ori de la *a alerga* şi a îngriji de toate, ori de la *a arde*, că 'Dumnezeu este foc mistuitor' [*A doua lege* 4, 24 şi 9, 3] a toată răutatea, ori de la *a vedea* toate, [...] că 'pe toate le-a văzut mai înainte de facerea lor' [*Susanna* 1, 42]». Vezi, mai sus, şi *Triade* 3, 1, 31.

[498] Dionisie Areopagitul, *Despre dumnezeieştile numiri* 11, 6, PG 3, 956 A şi *Epistola a 2ª*, PG 3, 1068, A–1069A.

ființă a o socoti?»[493]. Iar dumnezeiescul Maxim spune că «bunătatea şi tot ce e cuprins în logosul bunătății şi, într-un cuvânt, toată viața şi nemurirea [...] şi câte sînt văzute[494] [a exista] ființial în jurul Lui – sînt lucruri ale lui Dumnezeu şi [totodată sînt] neîncepute în timp; că nicicând nu a fost neființa mai bătrână ca virtutea, nici ca altceva din cele spuse, măcar că cele ce se împărtăşesc de ele – în ele însele – [nu altcum decât] în timp şi-au început faptul de a fi»[495]. Prin urmare nimic dintre acestea nu [Îi] este ființă lui Dumnezeu: nici bunătatea cea nezidită, nici viața cea fără-de-început şi veşnică; că toate cele de felul acesta nu sînt din cele [ce este El] în Sine[a Lui], ci din cele dimprejurul Său.

[10] Mai mult, toți sfinții Părinți – obşteşte – spun în privința neziditei Treimi că nu e [cu putință] a afla nume arătător al firii [Ei][496], ci numele sînt ale lucrărilor; că *θεότης* [*dumnezeirea*] e [nume] arătător [nu a altceva decât] al lucrării, arătând [ori] pe *θέειν* [adică faptul de *a alerga*] ori pe *θεᾶσθαι* [adică faptul de *a vedea*] ori pe *αἴθειν* [faptul de *a arde*][497] ori [arătând] însăşi-îndumnezeirea[498]; iar ceea ce e mai-presus-de-nume nu poate fi totuna cu ceea ce este numit; prin urmare nu totuna este ființa [lui Dumnezeu] cu lucrarea lui Dumnezeu. Iar dacă [denumirea] 'dumnezeirea lui Dumnezeu' arată propriu-zis lucrarea lui Dumnezeu, iar acestea[499] – după tine – sînt create, atunci – după tine – creată este şí dumnezeirea lui Dumnezeu. Dar [aceasta[500]] este nu doar nezidită, ci şi fără-de-început (că Cela ce ştie toate mai înainte de facerea lor[501], [Acesta doar] nu a început [abia] de la un moment dat a le vedea pe cele ce sînt);

[499] «acestea»: lucrările lui Dumnezeu.

[500] «aceasta»: *dumnezeirea* lui Dumnezeu, înțeleasă aici a fi în legătură cu *a vedea*, aşadar ca *lucrare văzătoare*.

[501] *Susanna* 1, 42.

πρίν γενέσεως αὐτῶν· ὑπέρκειται δ' ὅμως καὶ τῆς ἐνεργείας ταύτης ἡ ὑπερώνυμος οὐσία τοῦ Θεοῦ, καθ' ὅσον τὸ οὕτως ἐνεργοῦν, τοῦ ἐνεργουμένου, καὶ τὸ ὑπερώνυμον, τοῦ κατὰ τοῦτον τὸν τρόπον ὀνομαζομένου. Ἀλλὰ τὰ τοιαῦτα Θεὸν ἕνα σέβειν καὶ θεότητα μίαν οὐδαμῶς προσίσταται, ἐπεὶ μηδ' ἥλιον ἕνα καὶ φῶς ἓν αὐτοῦ νομίζειν, τὸ καὶ τὴν ἀκτῖνα 'ἥλιον' καλεῖσθαι. Ὁρᾷς ὅπως ἡμεῖς ἀκριβῶς ὁμολογοῦμεν τοῖς ἁγίοις;

[11] Σὺ δὲ ὁ τὰ μεθεκτὰ λέγων κτιστὰ καὶ οὐχὶ τὰ ἔργα πάντα μόνον, ἀλλὰ καὶ τὰς δυνάμεις καὶ ἐνεργείας πάσας τοῦ Θεοῦ ἀρχὴν ἔχειν χρονικὴν καὶ τέλος, ὦ τῆς παραπληξίας καὶ τῆς πάντα τολμώσης ἀδεῶς ἀπονοίας, ἀσεβεῖς ἀποφαινόμενος καὶ ἀφορισμῷ καὶ ἀναθέματι καθυποβάλλων τοὺς καὶ τῶν ἀκτίστων ἐνεργειῶν ἐπέκεινα κατ' οὐσίαν τὸν Θεὸν δοξάζοντας ἁγίους, ἐπεὶ κατ' αὐτὴν πάσης ὑπέρκειται θέσεώς τε καὶ ἀφαιρέσεως, σὺ τοίνυν τοιαῦτα λέγων καὶ φρονῶν ἔχεις ὅπως δείξῃς μὴ τοῖς ἀπ' αἰῶνος κακοδόξοις ἐναρίθμιος ὤν, καὶ ταῦτ' οὐχὶ τὰς ἐνεργείας μόνον πάσας καὶ πάντα τὰ ἔργα τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς δυνάμεις τῆς αὐθυπερουσίου φύσεως ἐκείνης κτιστὰς ἀποφαινόμενος; Καίτοι τοὔνομα τοῦτο, 'ἡ οὐσία', μιᾶς τῶν τοιούτων δυνάμεων σημαντικόν ἐστι ἐπὶ Θεοῦ. Φησὶ γὰρ ὁ ἐξ Ἀρείου Πάγου Διονύσιος, «εἰ τὴν ὑπερούσιον κρυφιότητα *θεὸν* ἢ *ζωὴν* ἢ *οὐσίαν* ἢ *φῶς* ἢ *λόγον* ὀνομάσομεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις ἐκθεωτικὰς ἢ οὐσιοποιοὺς ἢ ζωογόνους

[502] A soarelui, adică.

[503] «după aceasta»: din unghiul ființei Lui.

[504] Dionisie Areopagitul, *Despre teologia mistică* 1, 2, PG 3, 1000 B.

[505] Citatul de față este de fapt o compilație între *Despre dumnezeieștile numiri* 2, 7 (ed. De Gruyter, p. 131, r. 7-9) și *Despre dumnezeieștile numiri* 11, 6 (ed. De Gruyter, p. 222, r. 16).

însă şi față de lucrarea aceasta [văzătoare] este mai presus ființa lui Dumnezeu cea mai-presus-de-nume, după cum şí ceea ce [nu altcum decât] astfel lucrează față de ceea ce este lucrat, şí ceea ce e mai-presus-de-nume față de ceea ce [nu altcum decât] în chipul acesta este numit. Iar acestea nicidecum nu împiedică cinstirea unui singur Dumnezeu şi a unei singure dumnezeiri, după cum nici [faptul de] a numi 'soare' raza [acestuia[502] nu împiedică faptul de] a socoti [că există] un singur soare şi o singură lumină a lui. Vezi cum noi conglăsuim cu sfinții întru totul?

[11] Pe când tu, cela ce zici că create sînt cele împărtăşite [zidirilor] şi că nu numai toate lucrurile lui Dumnezeu, ci şi puterile şi toate lucrările [Lui îşi] au început temporal şi sfârşit – o, [ce] smintire şi nebunie ce cutează toate, cu neruşinare – necinstitori [de Dumnezeu] declarându-i şi afurisaniei şi anatemei supunându-i pe sfinții ce Îl socot pe Dumnezeu [a fi] – după ființă – mai presus şí decât lucrările nezidite (fiindcă după aceasta[503] stă mai presus de toată afirmarea şi negarea[504]), tu deci, cela ce spui şi cugeți unele ca acestea, ai cum dovedi [oare] că nu te numeri între cacodocşii cei din veac, cu atât mai mult că declari create nu doar toate lucrările şi toate lucrurile lui Dumnezeu, ci şi puterile firii aceleia celei însăşi-mai-presus-de-ființă? – aceasta cu toate că numele acesta, [şi anume] 'ființa', e însemnător [doar] al uneia dintre aceste puteri ale lui Dumnezeu; că zice Dionisie cel din Areopag: «dacă ascunzimea cea mai-presus-de-ființă o numim *dumnezeu* sau *viață* sau *ființă* sau *lumină* sau *cuvânt*, [prin denumirile acestea] nimic altceva nu înțelegem decât puterile venite la noi dintr-aceasta, [şi anume pe cele] îndumnezeitoare sau de-ființă-făcătoare sau de-viață-roditoare sau de-înțelepciune-dăruitoare»[505].

ἢ σοφοδώρους». Ὅταν οὖν αὐτὸς λέγῃς ἓν εἶναι μόνον ἄναρχον, τὴν οὐσίαν τοῦ Θεοῦ, μίαν μόνην δίδως ἡμῖν νοεῖν Θεοῦ δύναμιν ἄναρχον, τὴν οὐσιοποιόν, τὰς δὲ παρὰ ταύτην ὑπὸ χρόνον. Πῶς οὖν ἡ μὲν οὐσιοποιὸς τοῦ Θεοῦ δύναμις ἄναρχος, ἡ δὲ ζωοποιὸς ἕξει χρονικὴν ἀρχήν, ἥ τε ζωογόνος καὶ ἡ σοφοδότις; Ἡ γὰρ πᾶσα ἄναρχος θεία δύναμίς ἐστιν ἢ οὐδεμία. Σὺ δὲ τὴν μίαν μόνην λέγων καὶ κατασκευάζων ἄκτιστον, τὰς ἄλλας ἐκβάλλεις τοῦ ἀκτίστου· πάσας δὲ κτιστὰς ἀποφαινόμενος, συνεκβάλλεις καὶ τὴν μίαν. Τοιοῦτον γὰρ τὸ ψεῦδος καὶ ἑαυτῷ ἀνακόλουθόν ἐστι καὶ αὐτεπίβουλον, εἰκότως, ἵνα ᾖ καὶ πρὸς ἑαυτὸ ψευδές τε καὶ λυμαντικόν, αὐτὸ ἐφ' ἑαυτὸ χωροῦν καὶ αὐτὸ ἑαυτοῦ δι' ἑαυτοῦ καταψευδόμενον.

[12] Ἀλλ' ἐρεῖ διὰ τῆς οὐσίας ἐκεῖνο λέγειν, τὸ μοναχῶς καὶ ἑνιαίως ἔχον ἐν ἑαυτῷ πάσας τὰς δυνάμεις ταύτας; Ἀλλὰ πρῶτον μὲν Θεὸν ἔδει τοῦτο ὀνομάσαι· ταύτην γὰρ τὴν φωνὴν ὑπὸ τῆς Ἐκκλησίας ἐπ' ἐκείνου παρελάβομεν. Καὶ τῷ Μωϋσῇ δὲ χρηματίζων ὁ Θεός, οὐκ εἶπεν 'ἐγώ εἰμι ἡ οὐσία', ἀλλ' «ἐγώ εἰμι ὁ ὤν»· οὐ γὰρ ἐκ τῆς οὐσίας ὁ ὤν, ἀλλ' ἐκ τοῦ ὄντος ἡ οὐσία· αὐτὸς γὰρ ὁ ὢν ὅλον ἐν ἑαυτῷ συνείληφε τὸ εἶναι. Ἔπειτα, εἰ καὶ ἀντὶ τῆς 'οὐσίας' τῇ 'Θεός' ἐχρήσατο φωνῇ, ἔδει προσχρήσασθαι τῷ 'φύσει', καὶ ταῦτα περὶ τῆς χάριτος καὶ τῶν χάριτι θεῶν, οὓς καὶ 'χάριτι ἀνάρχους καὶ ἀκτίστους' οἱ ἅγιοί φασι, τῆς ὑποθέσεως τῶν λόγων οὔσης.

---

[506] «toată dumnezeiasca putere»: toate dumnezeieştile puteri, fiecare în parte.

[507] Adică: le excluzi din categoria necreatului.

[508] Sau: incoerentă şi cu ea însăşi.

[509] *Ieşirea* 3, 14.

[510] Vezi Grigorie Teologul, *Cuvântul* 45, 3, PG 36, 625 C.

[511] «ființă»: denumire, la Părinți, a puterii de-ființă-făcătoare.

Aşadar, când tu zici că doar un singur lucru e fără-de-început, [şi anume] fiinţa lui Dumnezeu, ne dai a înţelege că o singură putere a lui Dumnezeu este fără-de-început, [şi anume] cea de-fiinţă-făcătoare, iar [că] cele dinafara acesteia [sînt] supuse timpului. Cum, dar, de-fiinţă-făcătoarea putere a lui Dumnezeu să fie fără-de-început, iar cea de-viaţă-făcătoare să aibă început temporal, [tot aşa] şi cea de-viaţă-roditoare şi cea de-înţelepciune-dătătoare? – că ori toată dumnezeiasca putere[506] e fără-de-început, ori nici una. Tu, deci, când doar pe una singură o zici – şi o ticluieşti – [a fi] nezidită, pe celelalte le dai afară din nezidit[507], iar când pe toate le declari create, dimpreună cu acestea o dai afară şi pe cea una; că aşa e minciuna – [până] şi sieşi îşi este neurmătoare[508] şi gânditoare de rău [chiar] şi asupra sa, [iar aceasta] pe bună dreptate, ca să fie mincinoasă şi faţă de ea însăşi şi pierzătoare de ea însăşi, ea însăşi asupra sa însăşi venind şi ea însăşi prin ea însăşi mințind asupra sa însăşi.

[12] Zice-va, însă, că prin [denumirea de] 'fiinţă' lucrul acela l-a numit, [şi anume] ceea ce [în chip] singular şi unitar are în sine însuşi toate puterile acestea? [Bine,] dar – mai întâi – lucrul acesta trebuia numit 'Dumnezeu', că acesta e numele pe care l-am primit de la Biserică în privinţa lucrului aceluia; că şi lui Moisí – punând[u-Şi] nume Dumnezeu – nu i-a zis 'Eu sînt fiinţa', ci «Eu sînt Cel-ce-sînt»[509]; că nu Cel-ce-este e din fiinţă, ci fiinţa e din Cel-ce-este; că Acest Cel-ce-este a zămislit în Sine [pe] întreg [faptul de] a fi[510]. Mai apoi, dacă în loc[ul numirii] de 'fiinţă'[511] a folosit-o pe cea de 'Dumnezeu', trebuia să [i-l] adauge pe 'prin fire'[512], când tocmai despre har şi despre dumnezeii prin har era vorba, [dumnezei] despre care sfinţii şi spun că sînt 'prin

[512] Trebuia, adică, să folosească expresia 'Dumnezeul [Cel] *prin fire*' (sau '*cu firea*', sau '*după fire*').

Ἔδει τοίνυν λέγειν, «εἷς ὁ φύσει ἄναρχος Θεός». Οὗτος δὲ καὶ τὸ 'Θεὸς' ἀμείψας καὶ τὸ 'φύσει' καταλιπών, ὡς ἐνῆν κλέψαι τοὺς ἀκούοντας προήνεγκε τὸν λόγον, οὐκ ἐκεῖνο λέγων μόνον ἄναρχον, τὸ ἐνιαίως τὰ πάντα συνέχον καὶ προέχον· εἰ γὰρ τοῦτο ἔλεγε, πῶς ἂν τὰς ἐν αὐτῷ δυνάμεις φυσικὰς δεικνύειν ἐσπούδαζε κτιστάς;

[13] Ὅτι δ' οὗτος τὰς δυνάμεις κτιστὰς ἡγεῖται τοῦ Θεοῦ, ἄκουσον φανερῶς αὐτοῦ τοῦτο λέγοντος. Προενεγκὼν γὰρ τὸν μέγαν Διονύσιον φάσκοντα «μεθεκτῶς αὐτοεῖναι καὶ αὐτοζωὴν καὶ αὐτοθεότητα τὰς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις, ὧν τὰ ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα καὶ ὄντα καὶ ζῶντα καὶ ἔνθεα καὶ ἔστι καὶ λέγεται, διὸ καὶ πρώτως αὐτῶν ὁ ἀγαθὸς ὑποστάτης λέγεται εἶναι», συλλογιζόμενος ἐκ τούτων ἐφεξῆς οὗτος, «οὐκοῦν», φησίν, «ἡ ἐνταῦθα αὐτοθεότης καὶ τἆλλα, ἃ σαφῶς δυνάμεις ὁ μέγας ὠνόμασεν, οὐκ ἀεί εἰσιν, ἀλλὰ καὶ τούτων

---

[513] Vezi Maxim Mărturisitorul, *Ambigua*, PG 91, 1144 BC.

[514] Adică: ăsta; Varlaam, deci.

[515] Adică: a folosit formula cu care putea [cel mai bine] să îi înşele pe cititori.

[516] Vezi Dionisie Areopagitul, *Despre dumnezeieştile numiri* 5, 8, ed. De Gruyter, p. 187; vezi, mai jos, începutul paragrafului 22.

[517] Adică: facultăţile naturale, proprii firii lui Dumnezeu.

[518] «aceea»: «ceea ce în chip unitar pe toate le cuprinde şi de mai dinainte le are [în sine]»; Dumnezeu, adică.

[519] Acest *unghi al împărtăşirii* este cel al lui Dumnezeu considerat în raport cu zidirile Lui, al împărtăşirii lor de puterile şi de lucrările Lui. În fraza dionisiană existau două unghiuri; cel dintâi era *unghiul obârşiei* acestor puteri, al lui Dumnezeu considerat în Sine Însuşi; fraza începea astfel: «*existenţă-în-sine* şi *viaţă-în-sine* şi *dumnezeire-în-sine* spunem, *mai întâi*, [a fi] – din unghiul obârşiei şi al dumnezeiescului şi al cauzei – obârşia şi cauza cea una a tuturora, cea mai presus de obârşie şi de fiinţă; iar, *mai apoi*, [spunem a fi] – din unghiul împărtăşirii – puterile proniatoare...» (PG 3, 956 A); vezi Marcu Evghenicul, *Opere* II GA p. 169 şi 399.

har fără-de-început şi neziditi'[513]. Trebuia deci să spună 'unul este Dumnezeul [Cel] prin fire'; acesta[514], însă, şí pe 'Dumnezeu' înlocuindu-l, şí pe 'prin fire' lăsându-l deoparte, şi-a rostit cuvântul în aşa fel încât să îi poată înşela pe cei ce îl ascultă[515], nu aceea zicând [a fi] singurul [lucru] fără-de-început, [şi anume] ceea ce [în chip] unitar pe toate le cuprinde şi [de mai] înainte le are [în sine][516]; că de-ar fi spus aceasta, pentru ce să se mai fi străduit să dovedească [a fi] create puterile fireşti[517] cele [existente] într-aceea[518]?

[13] Iar că acesta puterile lui Dumnezeu le socoate [a fi] create – auzi-l chiar pe el zicând pe faţă lucrul acesta. Că aducându-l de faţă pe marele Dionisie, care zice «*existenţă-în-sine* şi *viaţă-în-sine* şi *dumnezeire-în-sine* [a fi] – din unghiul împărtăşirii[519] – puterile proniatoare date de la Dumnezeu Cel de neîmpărtăşit, [adică] însăşi-fiinţarea, însăşi-darea-de-viaţă, însăşi-îndumnezeirea, de care împărtăşindu-se, fiecare în felul său, cele ce sînt, [acestea din urmă] sînt – şi se numesc – şí *existente*[520] şí *vii* şí *îndumnezeite*; [fapt] pentru care se şi zice că mai întâi acestora[521] Cel bun le este suport [ontologic][522]»[523], conchizând el[524], zice mai apoi, pe temeiul acestora, [că] «prin urmare, 'însăşi-îndumnezeirea' aici pomenită şi celelalte – pe care în chip limpede marele [Dionisie] le-a numit 'puteri' – nu sînt pururea[525], ci şi acestora Cel bun le este suport»; şi iarăşi: «[e adevărat că] cineva a spus

[520] Literal: 'fiinde'.
[521] Adică: pomenitelor puteri sau lucrări proniatoare.
[522] «suport [ontologic]»: 'subzistător', făcător a subzista, dătător de subzistenţă.
[523] *Despre dumnezeieştile numiri* 11, 6, PG 3, 956 A.
[524] Varlaam, adică.
[525] Adică: nu există pururea.

ὑποστάτης ἐστὶν ὁ ἀγαθός»· καὶ πάλιν, «ἔφη μέν τις θεαρχίαν εἶναί τινα καὶ θεότητα, ἧς ἐξῃρῆσθαι τὴν πάντων ἀρχήν, ἀεὶ δὲ οὐδαμῶς εἶπεν αὐτήν· εἶναι γὰρ καὶ ταύτης ὑποστάτιν τὴν πάντων αἰτίαν»· καὶ πάλιν, «ἡ μὲν ἀμέθεκτος δόξα τοῦ Θεοῦ ἀΐδιον μέν, οὐ μὴν ἕτερον τῆς οὐσίας, ἡ δὲ μεθεκτὴ ἕτερον μὲν τῆς οὐσίας τοῦ Θεοῦ, οὐ μὴν ἀΐδιος· καὶ ταύτης γὰρ ὑποστάτις ἐστὶν ἡ πάντων αἰτία». Ὅτι μὲν οὖν ψεῦδός ἐστιν ὡς ἡ ἀΐδιος δόξα τοῦ Θεοῦ ἡ οὐσία τοῦ Θεοῦ ἐστιν ἡ ἀμέθεκτος, ἔδειξεν ὁ θεωροὺς δόξης ἀϊδίου τοὺς ἀγγέλους εἰρηκώς, ὃ καὶ ἀνωτέρω εἶπον, δι' οὗ καὶ ὡς ἡ ἀΐδιος τοῦ Θεοῦ δόξα μεθεκτὴ συναποδείκνυται· τὸ γὰρ τοῦ Θεοῦ ὁρατὸν ὁπωσδήποτε καὶ μεθεκτόν. Ἀλλὰ καὶ ὁ μέγας Διονύσιος, «κυκλικῶς», φησίν, «οἱ θεῖοι κινοῦνται νόες, ἑνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ». Πῶς οὖν αἱ ἄναρχοι καὶ ἀτελεύτητοι ἐλλάμψεις αὗται οὐχ ἕτεραί εἰσι τῆς ἀμεθέκτου οὐσίας τοῦ Θεοῦ, διαφορὰν πρὸς ταύτην ἔχουσαι, εἰ καὶ ἀχώριστοι αὐτῆς εἰσι; Πρῶτον μὲν γὰρ ἐκείνη ἕν, αἱ δὲ ἐλλάμψεις αὗται πλείους, ἀναλόγως καὶ τοῖς μετέχουσιν οἰκείως ἐνιέμενοι καὶ τῇ διαφόρῳ τούτων δεκτικῇ δυνάμει πληθυνόμεναι· καὶ γὰρ οὕτω καὶ «Πνεύματος ἁγίου μερισμοί», κατὰ τὸν Παῦλον. Ἔπειτ' ἐκείνη μὲν ὑπερούσιος οὐσία, ταύτης δ' εἶναι τὰς ἐλλαμψεις ταύτας ἐνεργείας ἢ ἐνέργειαν οὐδένα οἶμαι ἀντερεῖν, ἀλλ' οὐδ' ὅτι μεθεκταί εἰσιν, ἐκείνης οὔσης ἀμεθέκτου.

---

[526] Grigorie Teologul, *Cuvântul 28*, 31, PG 36, 72 C. Vezi, mai sus, paragraful 3.

[527] Sau: ciclic, 'cercuieşte'.

[528] Îngerii, adică.

[529] *Despre dumnezeieştile numiri* 4, 8, PG 3, 704 D.

[530] «în acestea»: în cele ce se împărtăşesc [de străluciri].

[531] *Evrei* 2, 4.

că există oarece thearhie şi dumnezeire față de care este mai presus Obârşia a toate, dar nu a spus nicidecum că [aceasta ar exista] pururea; [ci] că şí acesteia [îi] este suport Pricina a toate»; şi iarăşi: «slava cea de-neîmpărtăşit [nimănui] a lui Dumnezeu este ceva veşnic, dar nu e altceva decât ființa cea de-neîmpărtăşit [nimănui] a lui Dumnezeu; iar cea care este împărtăşită [zidirilor], [aceasta] este altceva decât ființa [Lui], dar nu ceva veşnic; că şi acesteia îi este suport Pricina a toate». Aşadar, că minciună este [cum] că veşnica slavă a lui Dumnezeu e [totuna cu] ființa lui Dumnezeu cea de-neîmpărtăşit [nimănui], [aceasta] a dovedit-o cel ce a zis că îngerii sînt văzători ai slavei veşnice – lucru pe care şi mai sus l-am spus[526], [lucru] prin care slava cea veşnică a lui Dumnezeu s-a dovedit totodată a fi cu putință de împărtăşit [zidirilor]; că văzutul lui Dumnezeu negreşit că este şi împărtăşit [văzătorului]. Dar şi marele Dionisie zice că «în cerc[527] se mişcă dumnezeieştile minți[528], unindu-se cu cele fără-de-început şi fără-de-sfârşit străluciri ale frumosului şi binelui»[529]; cum, dar, strălucirile acestea cele fără-de-început şi fără-de-sfârşit să nu fie altele/altceva decât ființa lui Dumnezeu cea de-neîmpărtăşit [nimănui], de vreme ce au deosebire față de aceasta, măcar că sînt nedespărțite de ea? Mai întâi că aceea este *una*, pe când strălucirile acestea sînt *multe*, potrivit şi propriu celor ce se împărtăşesc venite în acestea[530] şi înmulțite după puterea de primire a fiecăreia dintr-acestea; că doar aşa sînt 'împărțiri ale sfântului Duh'[531], după [cum spune] Pavel. Apoi, [că] aceea e ființă mai-presus-de-ființă, pe când strălucirile acestea sînt lucrări ale acesteia – sau lucrare [a acesteia] –, lucru pe care socot că nimeni nu îl tăgăduieşte, nici că sînt împărtăşite [zidirilor], aceea fiind [însă] de-neîmpărtăşit [nimănui].

[14] Καὶ μὴν πᾶσα ἕνωσις δι' ἐπαφῆς, αἰσθητῆς μὲν ἐπὶ τῶν αἰσθητῶν, νοερᾶς δ' ἐπὶ τῶν νοερῶν· ἐπεὶ δ' ἕνωσίς ἐστι τῶν ἐλλάμψεων ἐκείνων, καὶ ἐπαφὴ ἄρα, δηλονότι νοερά, μᾶλλον δὲ πνευματική. Ἡ δὲ οὐσία τοῦ Θεοῦ ἀνέπαφος καθ' ἑαυτήν. Ἔτι ἡ πρὸς τὰς ἐλλάμψεις ἕνωσις, τί γε ἄλλο ἢ ὁρασίς ἐστιν; Ὁραταὶ ἄρ' εἰσὶν ἐκεῖναι αἱ ἐλλάμψεις τοῖς ἠξιωμένοις· ἡ δὲ οὐσία τοῦ Θεοῦ ἀόρατός ἐστι παντάπασι· καὶ μὲν δὴ αἱ ἄναρχοι καὶ ἀτελεύτητοι ἐλλάμψεις φῶς εἰσιν ἄναρχον καὶ ἀτελεύτητον. Ἔστιν ἄρα φῶς ἀΐδιον ἄλλο παρὰ τὴν οὐσίαν τοῦ Θεοῦ, οὐχὶ οὐσία καὶ αὐτὸ ὑπάρχον, ἄπαγε, ἀλλ' ἐνέργεια τῆς ὑπερουσιότητος ἐκείνης. Ἐπεὶ δ' ἄναρχόν ἐστι καὶ ἀτελεύτητον τουτὶ τὸ φῶς, οὔτε αἰσθητόν ἐστιν οὔτε νοητὸν κυρίως, ἀλλὰ πνευματικὸν καὶ θεϊκόν, τῶν κτιστῶν πάντων ὑπεροχικῶς ἐξῃρημένον· τὸ δὲ μήτε αἰσθητὸν μήτε νοητὸν οὐδ' αἰσθήσει ἢ αἰσθήσει ὑποπίπτει οὐδὲ νοερᾷ δυνάμει καθ' αὑτήν. Οὐκοῦν οὐ μόνον τὸ ὁρώμενον, ἀλλὰ καὶ ἡ ὁρῶσα δύναμις τὸ πνευματικὸν ἐκεῖνο φῶς, οὔτ' αἴσθησίς ἐστιν οὔτε νόησις, ἀλλὰ πνευματική τις δύναμις, τῶν κτιστῶν ἁπασῶν γνωστικῶν δυνάμεων ὑπεροχικῶς ἐξῃρημένη καὶ ταῖς λογικαῖς καθαραῖς φύσεσιν ἐγγινομένη χάριτι.

[15] Διὰ τοῦτο καὶ Γρηγόριος ὁ μέγας θεολόγος οὐ μόνον «θεωροὺς δόξης ἀϊδίου» τοὺς ἀγαθοὺς ἀγγέλους εἴρηκεν, ἀλλὰ καὶ «ἀϊδίως», δεικνύς ὡς οὐ κτιστῇ, φυσικῇ καὶ νοερᾷ δυνάμει τὴν ἀΐδιον δόξαν οἱ ἄγγελοι

---

[532] Altfel zis: orice unire presupune contactul celor ce se unesc.
[533] Că există, adică.
[534] Adică: există.
[535] «aceasta»: lumina.
[536] Sau: a ființei aceleia mai-presus-de-ființă.
[537] Adică: percepere cu mintea, prin facultatea naturală a minții.
[538] Sau: facultate duhovnicească.

[14] Iar toată unirea este prin atingere[532], [atingere] simțită [trupeşte] în cazul celor simțite [trupeşte] şi înțelegătoare în cazul celor înțelegătoare; şi întrucât [s-a spus că] este[533] unire cu strălucirile acelea, este – prin urmare – şí atingere [a lor], vădit că înțelegătoare, mai bine zis duhovnicească; pe când ființa lui Dumnezeu este neatinsă în sine[şi]. Mai mult, unirea cu strălucirile ce altceva este, dacă nu vedere? Văzute sînt, prin urmare, strălucirile acelea celor învredniciți [a le vedea], pe când ființa lui Dumnezeu [le] este cu totul nevăzută; deci strălucirile fără-de-început şi fără-de-sfârşit [nu] sînt [altceva decât] lumină fără-de-început şi fără-de-sfârşit; este[534], prin urmare, lumină veşnică [care este] altceva decât ființa lui Dumnezeu, nu ființă fiind şi aceasta[535] – ferească Sfântul! –, ci lucrare a mai-presus-de-ființei aceleia[536]. Şi fiindcă lumina aceasta e fără-de-început şi fără-de-sfârşit, [înseamnă că] nici simțită [trupeşte] nu este, nici propriu-zis înțeleasă [cu mintea], ci duhovnicească şi dumnezeiască, stând – [în chip] covârşitor – dincolo de toate zidirile; iar ceea ce nu e nici simțit [trupeşte], nici înțeles [cu mintea], [aceasta] nici nu cade sub simțirea [lucrătoare] ca simțire, nici sub puterea înțelegătoare [lucrătoare] de sine [stătător]. Aşadar, nu doar ceea ce se vede, ci şi puterea văzătoare a duhovniceştii luminii aceleia, [nici aceasta deci] nu este nici simțire [trupească], nici înțelegere[537], ci o anume putere duhovnicească[538], stând – [în chip] covârşitor – dincolo de toate ziditele puteri cunoscătoare, şi venind prin har [adică în dar] în firile cuvântătoare cele curate.

[15] [Fapt] pentru care şi Grigorie, marele cuvântător-de-Dumnezeu, a spus nu doar că Îngerii buni sînt 'văzători ai veşnicei slave', ci şi că [sînt văzători ai acesteia în chip] 'veşnic', arătând că nu prin putere zidită, firească

θεωροῦσι τοῦ Θεοῦ, ἀλλὰ δυνάμει ἀϊδίῳ, πνευματικῇ καὶ θεϊκῇ, «οὐχ ἵνα δοξασθῇ Θεός», φησίν – «οὐ γάρ ἐστιν ὃ προστεθήσεται τῷ πλήρει καὶ τοῖς ἄλλοις χορηγῷ τῶν καλῶν – ἀλλ' ἵνα μὴ λείπῃ τὸ εὐεργετεῖσθαι καὶ ταῖς πρώταις μετὰ Θεὸν φύσεσιν». Ὁρᾷς ὡς οὐκ ἀπὸ φύσεως ἔχουσι τὸ τὴν ἀΐδιον δόξαν ἀϊδίως ὁρᾶν, ἀλλ' ὑπὸ τῆς ἀϊδίου φύσεως εὐεργετούμενοι τὴν δύναμιν ταύτην καὶ τὴν θεωρίαν προσλαμβάνονται, καθάπερ καὶ οἱ ἅγιοι; «Τὸ γὰρ κινηθὲν ὑπὸ Πνεύματος ἁγίου κίνησιν ἀΐδιον, ζῶον ἅγιον ἐγένετο» κατὰ τὸν μέγαν Βασίλειον· «ἔσχε δὲ ἄνθρωπος, Πνεύματος εἰσοικισθέντος ἐν αὐτῷ, ἀξίαν προφήτου, ἀποστόλου, ἀγγέλου, θεοῦ, ὧν πρότερον 'γῆ καὶ σποδός'». Τοιαύτης δὲ δυνάμεως οἱ νόες εὐμοιροῦντες, αὐτοὶ λέγονται ὁρᾶν· οὕτω κατὰ νοῦν καὶ ὑπὲρ νοῦν ἐστι τὸ φῶς ἐκεῖνο· ἀλλὰ καὶ ἑαυτοὺς λέγονται ὁρᾶν· αὐτοπτικὸν γὰρ ἐκεῖνό ἐστι τὸ φῶς, ἐπεὶ γνωστικῇ κτιστῇ δυνάμει ἄληπτον, ὁρατὸν δὲ τοῖς ἀξίοις.

[16] Διὰ τοῦτο ὁ μέγας Διονύσιος «κυκλικῶς» εἶπε «κινεῖσθαι τοὺς νόας, ἑνουμένους ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσιν». Ἐπιστῆσαι δὲ καὶ τοῦτο χρή, ὡς οὐχ ἁπλῶς ὁ πάνθ' ὑπὲρ ἅπαντας ἠκριβωμένος οὗτος κυκλικῶς τοὺς νόας εἴρηκε κινεῖσθαι ταῖς ἀνάρχοις ἑνουμένους ἐλλάμψεσιν, ἀλλὰ 'λέγεσθαι' κινεῖσθαι, ὑποσημαίνων, ὡς ἐγῷμαι, τὸ μὴ φυσικὴν

[539] Altfel zis: nu prin vreo facultate creată, naturală şi mintală.
[540] Grigorie Teologul, *Cuvântul 28*, 31, PG 36, 72 C.
[541] *Facerea* 18, 27.
[542] Vasile cel Mare, *Contra lui Eunomiu* 5, PG 29, 769 B; vezi şi *Epistola a III[a] către Achindin* 17 a sfântului Grigorie Palama (*Opere complete* II, G.A., p. 317).
[543] Adică facultate.
[544] Adică: de neperceput, cu neputinţă de receptat.
[545] Adică ciclic, 'cercuieşte'.
[546] Îngerii, adică.

şi înţelegătoare[539], văd îngerii veşnica slavă a lui Dumnezeu, ci prin putere veşnică, duhovnicească şi dumnezeiască, «nu ca să Se slăvească Dumnezeu» – zice –, «că nu e nimic care să trebuiască a fi adăugat plinului Hărăzitor de cele bune şi altora, ci ca să nu înceteze a li se face bine şi primelor firi celor de după Dumnezeu»[540]. Vezi că nu de la fire[a lor] au [putinţa de] a vedea veşnic veşnica slavă, ci, făcându-li-se bine de către veşnica Fire, iau [ele] puterea aceasta şi vederea, după cum şi sfinţii? Că «ceea ce este mişcat de Duhul sfânt mişcare veşnică – vietate sfântă s-a făcut», după [cum zice] marele Vasile; «şi a luat omul, sălăşluindu-se Duhul înlăuntrul lui, vrednicie de proroc, de apostol, de înger, de dumnezeu – [el,] cel [ce] mai înainte [era] pământ şi cenuşă[541]»[542]. De o astfel de putere[543] având parte minţile [cereşti], se spune despre ele că văd; aşa [şí] după-minte şí mai-presus-de-minte este lumina aceea; dar se [mai] spune [despre ele] şi că se văd pe ele însele; că de-sine-[însăşi-]văzătoare este lumina aceea, fiindcă puterii cunoscătoare zidite îi este de-neluat[544], dar văzută celor vrednici.

[16] Pentru aceasta marele Dionisie «în cerc[545]» a zis [că] «se mişcă dumnezeieştile minţi[546], unindu-se [ele] cu strălucirile fără-de-început şi fără-de-sfârşit»[547]. Şi se cade să adăugăm şi aceasta, cum că acesta[548], cela ce toate le-a spus mai cu acrivie decât toţi, nu a spus că 'minţile se mişcă în cerc' şi atât, ci că '[ele] *se zice* că se mişcă'[549], dând de înţeles – socot eu – faptul că nu în putinţa firii[550] le este o astfel de unire, măcar că, nicicând neluând cercarea

[547] *Despre dumnezeieştile numiri* 4, 8, PG 3, 704 D.
[548] Dionisie, adică.
[549] *Despre dumnezeieştile numiri* 4, 8, PG 3, 704 D (ed. De Gruyter p. 153).
[550] Literal: nu firească, nu naturală.

αὐτοῖς εἶναι τὴν τοιαύτην ἕνωσιν, εἰ καὶ διὰ τὸ μολυσμοῦ πεῖραν οὐδέποτε λαβεῖν συγκεκληρωμένοι τυγχάνουσιν ἐξ ἀρχῆς τῇ χάριτι. Ὅτι δὲ τὸ τοιοῦτο φῶς καὶ ἡ ὁρῶσα τοῦτο δύναμις οὐ φυσικῶς τοῖς ὑπερκοσμίοις ἔνεστιν ἀγγέλοις καὶ παρὰ τοῦ ἐχθίστου τούτοις ἔνι μαρτυρίαν αὖθις ἀξιοπιστοτέραν, ὃ φασι, πορίσασθαι· τὸ γὰρ ἔκπτωτον ἐκείνων καὶ δαιμόνιον φῦλον τοῦ μὲν φωτὸς καὶ τῆς ὁρώσης τοῦτο δυνάμεως ἐστέρηται, οὐδενὸς δὲ τῶν φυσικῶν· οὐκ ἄρα φυσικὸν οὔτε τὸ φῶς οὔτε ἡ ὅρασις ἐκείνη. Καὶ μὴν οὐδὲ νοήσεως ἐστέρηται τὸ δαιμόνιον φῦλον· νόες γάρ εἰσι καὶ τὸ εἶναι οὐκ ἀποβεβλήκασι καί, «οἶδά σε τίς εἶ», φασίν, «ὁ ἅγιος τοῦ Θεοῦ», ὃς «καὶ οὐκ ἠφίει τὰ δαιμόνια λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι». Διὸ καὶ ὁ θεολόγος εἶπεν· «ἀπιστεῖς τῇ θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες». Εἰ δὲ θεότητα ἴσασι, καὶ τοῦτ' εἰδέναι αὐτοὺς ἀνάγκη, ὅτι τῶν κτιστῶν οὐδέν ἐστιν ἐκείνη.

[17] Οὐκ ἄρα γνῶσίς ἐστι τὸ φῶς ἐκεῖνο, οὔτε ἡ διὰ καταφάσεων οὔτε ἡ δι' ἀποφάσεων προσγενομένη. Καὶ μὲν δὴ νοῦς μέν ἔστι τῶν πονηρῶν ἕκαστος ἀγγέλων, ἀλλ' 'ἀσσύριος', προφητικῶς εἰπεῖν, κακῶς χρώμενος τῇ γνώσει· τῷ δὲ φωτὶ ἐκείνῳ χρῆσθαί τινα κακῶς οὐκ ἔνι· πρὸς γὰρ τὰ χείρω νεύσαντος εὐθύς ἀφίπταται, καταλιπὼν ἔρημον Θεοῦ τὸν πονηρᾷ χρησάμενον συγκαταθέσει. Τοιγαροῦν τὸ φῶς ἐκεῖνο καὶ ἡ ἔλλαμψις νόησις οὐκ ἔστιν, εἰ μὴ ὁμωνύμως λέγοιτο, μάλιστα

[551] Adică: proprii firii îngereşti.
[552] În cazul îngerilor *a fi* e totuna cu *a fi minți*; nelepădând faptul de a fi, îngerii căzuți nu au încetat de-a fi minți şi de a avea înțelegerea proprie oricărei minți.
[553] *Marcu* 1, 24.
[554] *Marcu* 1,34; *Luca* 4, 41.

întinării, dintru început au parte a fi împreună-moştenitoare harului. Iar că asemenea lumină şi asemenea putere ce o vede pe [lumina] aceasta nu în chip firesc [sau natural] este în îngerii cei mai presus-de-lume, [despre lucrul acesta] putem avea vrednică-de-crezare – s-ar [putea] spune – mărturie până şi de la preavrăjmaşa [ceată căzută] dintr-aceştia; căci căzutul şi drăcescul neam al acelora a pierdut – e adevărat – lumina şi puterea văzătoare a [luminii] acesteia, dar nimic din [însuşirile] cele fireşti[551]; prin urmare nu firească era lumina, nici vederea aceea. Că înţelegerea nu a pierdut-o neamul cel diavolesc; că minţi sînt şi faptul de a fi nu l-au lepădat[552] şi zic «Te ştiu cine eşti: sfântul lui Dumnezeu»[553], Care nici «nu îi lăsa pe diavoli să grăiască, că Îl ştiau că El este Hristosul»[554]; [fapt] pentru care şi de-Dumnezeu-cuvântătorul a spus: «nu crezi dumnezeirii? – nici dracii nu fac aceasta»[555]; Iar de ştiau dumnezeirea, negreşit că şi aceasta o ştiau, [şi anume] că aceea nu e nimic din cele zidite.

[17] Aşadar, nu cunoaştere e lumina aceea – nici cea făcută prin afirmaţii, nici cea prin negaţii. Şi minte este – de bună seamă – fiecare dintre îngerii cei vicleni, dar 'asiriană' (ca să vorbim proroceşte[556]), [adică] rău folosindu-şi cunoaşterea; pe când de lumina aceea nu se poate folosi cineva în chip rău; că aplecându-se [acela] spre cele rele, [aceasta[557]] numaidecât zboară de la el, deşert de Dumnezeu[558] lăsându-l pe cel ce a încuviinţat cu răutatea. Prin urmare lumina şi strălucirea aceea nu este înţelegere – fără numai dacă nu e numită aşa omonimic (de bună

[555] Grigorie Teologul, *Cuvântul 45*, 27, PG 36, 661 A.
[556] *Isaia* 10, 12 şi urm.
[557] «aceasta»: lumina.
[558] Adică: lipsit de Dumnezeu, gol de Dumnezeu, fără Dumnezeu.

διὰ τὸν εὐμοιροῦντα νοῦν, ὥσπερ καὶ 'θεότης' διὰ τὸν ἐνεργοῦντα τὴν ἀπόῤῥητον χάριν· θεοποιὸς γάρ ἐστιν ἐνέργεια, τοῦ ἐνεργοῦντος Πνεύματος ἥκιστα χωριζομένη, ἠργμένου μὲν τοῦ διὰ καθαρότητα πεφωτισμένου καὶ κατ' αὐτὸ τὸ πεφωτίσθαι, διὸ καὶ 'καθαρότης' τοῦτο παρὰ τῶν πατέρων ὀνομάζεται, τοῦ δὲ φωτὸς καὶ τῆς ἐλλάμψεως ἀνάρχου οὔσης. Καὶ τοῦτο δείκνυται μᾶλλον ἐπὶ τῶν ἀνθρώπων, δηλαδὴ τῶν ἀγγελικῶς πεφωτισμένων καὶ ἐπιτυχόντων τῆς θεώσεως, οἳ κατὰ τὸν πολύν τὰ θεῖα Μάξιμον «τῆς ἀφανοῦς καὶ ὑπεραῤῥήτου δόξης τὸ φῶς ἐποπτεύοντες, τῆς μακαρίας μετὰ τῶν ἄνω δυνάμεων καὶ αὐτοὶ δεκτικοὶ γίνονται καθαρότητος».

[18] Εἰ δὲ καὶ τὴν αἰτίαν ἐξετάσομεν, δι' ἣν ὁ καινοφανὴς οὗτος τὴν θεοποιὸν δωρεὰν τοῦ Πνεύματος, μᾶλλον δὲ πάσας τὰς δυνάμεις τοῦ Θεοῦ, κτιστὰς εἶναι κατεσκεύασε, μετὰ τὴν πονηρὰν ἐκείνην τῶν αἱρέσεων πηγήν, ἣν ἀνωτέρω ἀπηλέγξαμεν, οὐδεμίαν εὑρήσομεν ἑτέραν ἢ ὅτι τὸν Θεὸν ὑποστῆσαι ταύτας ὁ μέγας ἔφη Διονύσιος· τοῦτο δὲ ὕπαρξιν δηλοῖ μόνον, ἀλλ' οὐχὶ καὶ τὸν τρόπον τῆς ὑπάρξεως· τοιγαροῦν καὶ ἐπὶ τῶν κτιστῶς ὄντων καὶ ἐπὶ τῶν ἀκτίστως ὄντων ἐκ Θεοῦ ῥηθείη ἄν. Ὁ γὰρ μέγας Βασίλειος ἐπί τε τοῦ Υἱοῦ ἐχρήσατο τῇ λέξει ταύτῃ εἰπών «ὁ γὰρ 'τετοκὼς βώλους δρόσου' οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν Υἱὸν

[559] «de către ea»: de către lumina aceea.
[560] Cu îngerii sfinți, adică.
[561] *Mistagogia* 21, PG 90, 697 A.
[562] Varlaam, adică.
[563] Vezi paragraful 4.
[564] Sau: subzistența; *Despre dumnezeieștile numiri* 11, 6, PG 3, 953 B; vezi și începutul paragrafului 13.
[565] Sau: modul existenței.
[566] *Iov* 38, 28.
[567] *Contra lui Eunomiu* 2, 3, PG 29, 624 A. În manuscrise *ὑπεστήσατο* (a dat subzistență) alternează cu *ἐτεκνώσατο* (a născut). Citatul apare în *Tomosul sinodal* din 1351 (PG 151, 744 B), dar Nichifor Grigorás a contestat

seamă că datorită minții ce are parte [de ea]), după cum [tot omonimic e numită] şi 'dumnezeire', datorită Celui ce lucrează negrăitul har [adică dar], căci [cu adevărat] e lucrare îndumnezeitoare, câtuşi de puțin despărțită de Duhul lucrător [al ei] –, cel luminat prin curăție început având [chiar] şi din unghiul faptului însuşi de a fi luminat [de către ea[559]] ([fapt] pentru care şi 'curăție' e numită de Părinți aceasta), dar lumina şi strălucirea fiind fără-de-început. Iar faptul acesta se vede şi la oameni, adică la cei care sînt îngereşte luminați şi care au parte de îndumnezeire, [oameni] care – după Maxim cel mult [priceput] în cele dumnezeieşti – «a nearătatei şi preanegrăitei slave lumină văzându-o, primitori se fac şi ei – dimpreună cu puterile cele de sus[560] – ai fericitei curății»[561].

[18] Iar de vom cerceta şi pricína pentru care nou-arătatul acesta[562] darul îndumnezeitor al Duhului – ba mai degrabă toate puterile lui Dumnezeu – ni le-a făcut a fi create, [ei bine,] după rău izvorul acela al ereziilor cel mai sus dat de noi în vileag[563], nici o alta nu vom afla, fără numai faptul că marele Dionisie a spus că Dumnezeu le este suportul [ontologic][564]; [bine,] dar [spusa] aceasta [le] arată doar existența, nu însă şi chipul existenței[565]; pentru că [faptul de a fi] din Dumnezeu se poate spune şí despre cele ce sînt [în chip] zidit, şí despre cele ce sînt [în chip] nezidit; că marele Vasile a folosit cuvântul acesta şí despre Fiul (zicând «[oare] 'Cel ce a născut bulgări de rouă'[566], [Acesta] într-acelaşi chip a dat subzistență [adică este suportul ontologic] şí bulgărilor, şí Fiului?»[567]), şí despre sfântul Duh (că zice «[I s-a zis] 'Duhul gurii lui

autenticitatea variantei citate, fapt pentru care Palama a alcătuit o epistolă 'către cel ce a întrebat' *Despre spusa lui Vasile*.

ὑπεστήσατο;», κἀπὶ τοῦ ἁγίου Πνεύματος, «Πνεῦμα» γάρ, φησί, «στόματος Θεοῦ, ἵνα μὴ τῶν ἔξωθέν τι καὶ τῶν κτισμάτων αὐτὸ κρίνῃς, ἀλλ' ὡς ἐκ Θεοῦ τὴν ὑπόστασιν ἔχον δοξάζῃς»· καὶ πάλιν, «τοῦτο τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ διὰ τοῦ Υἱοῦ γνωρίζεσθαι καὶ ἐκ τοῦ Πατρὸς ὑφεστάναι». Πολλαχοῦ δὲ καὶ Γρηγόριος ὁ θεολόγος 'ὑπόστασιν' ὀνομάζει τὴν τοῦ Υἱοῦ προαιώνιον γέννησιν. Σὺ τοίνυν τάχ' ἂν ἡμῖν διὰ τὰ τοιαῦτα προσρήματα καὶ τὸν Υἱὸν ἢ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀποδείξῃς κτίσμα, ὁ δι' οὐδὲν ἕτερον τὰς θείας δυνάμεις κτιστὰς εἶναι ἀποφαινόμενος ἢ ὅτι καὶ τούτων ὑποστάτις ἐστὶν ἡ πάντων αἰτία. Καὶ οὐδὲ τοῦτο συνεώρακας ὡς ἐκεῖ ταύτας τὰς δυνάμεις καθ' ὑπεροχὴν μὴ οὔσας ἔδειξεν ὁ μέγας Διονύσιος· εἰπὼν γάρ, «τὰς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις», ἐπήγαγεν, «ὧν τὰ ὄντα μετέχοντα καὶ 'ὄντα' λέγεται», πάντως ὡς τῶν δυνάμεων ἐκείνων οὐσῶν ὑπὲρ τὰ ὄντα. Καὶ μὴν ὁ σοφὸς τὰ θεῖα Μάξιμος ἠργμένα λέγων τὰ μετέχοντα, οὐκ ἠργμένα φησὶ τὰ μεθεκτά.

[19] Τὰς γοῦν ἐκ τῆς ὑπερουσίου κρυφιότητος προϊούσας δυνάμεις ἐκθεωτικὰς ἢ οὐσιοποιοὺς ἢ σοφοδώρους τῶν μετεχόντων εἶναι νομίζεις ἢ τῶν μεθεκτῶν; Ἀλλ' εἰ τῶν μετεχόντων, δεήσει δυνάμεις ὁμοίας ζητεῖν ἑτέρας, ὧν μεθέξουσιν. Ὁρᾷς ὡς αἱ δυνάμεις ἐξ ἀνάγκης τῶν μεθεκτῶν, ἀλλ' οὐ τῶν μετεχόντων εἰσί; Πρὸς δέ, εἴπερ ἡ ἐκθεωτικὴ δύναμις ἑτέρας ἐκθεωτικῆς δεῖται, καὶ γὰρ οὕτω μετέχον, ἀλλ' οὐ μεθεκτὸν ἂν εἴη, κἀκείνη δεήσει

[568] *Psalmii* 32, 6.
[569] *Omilia la Psalmul* 32, 4, PG 29, 333 B.
[570] *Epistola* 38, 4, PG 32, 329 C.
[571] Vezi *Cuvântul* 20, 6, PG 35, 1072 C; *Cuvântul* 42, 16, PG 36, 477 AB şi altele.
[572] *Despre dumnezeieştile numiri* 11, 6, PG 3, 956 A.
[573] *Capete teologice* 1, 48, PG 90, 1100 CD şi 1, 50, PG 90, 1101 B.

Dumnezeu'[568], ca să nu Îl gândeşti [a fi] între cele din afara [lui Dumnezeu] şi între zidiri, ci să îl socoţi din Dumnezeu avându-Şi subzistenţa»[569]; şi iarăşi: «acesta Îi este semnul însuşirii celei din unghiul subzistenţei [proprii], [şi anume] faptul de a fi cunoscut prin Fiul şi faptul de a subzista din Tatăl»[570]). Dar şi Grigorie Teologul de multe ori numeşte 'subzistenţă/ipostas' naşterea cea dinainte de veci a Fiului[571]. Tu, dar, datorită numirilor acestora, creatură [a fi] ni L-ai demonstra pe Fiul ori pe Duhul Sfânt, [tu,] cela ce din pricina a nimic altceva nu spui că dumnezeieştile puteri sînt create, fără numai a faptului că şí acestora le este suport [ontologic tot] Pricína a toate. Şi nu ai băgat de seamă nici aceea că marele Dionisie a arătat acolo [cum] că puterile acestea [nici] nu sînt – [aceasta, de bună seamă,] în înţeles de depăşire; că zicând «puterile proniatoare date [nouă] din Dumnezeu Cel de-neîmpărtăşit», a adăugat: «de care împărtăşindu-se cele ce sînt, [acestea] se şi numesc 'fiinde', adică '[cele] ce sînt'»[572], puterile acelea fiind – de bună seamă – mai presus de cele ce sînt. Iar Maxim cel înţelept [întru] cele dumnezeieşti, 'începute' zicând [a fi] cele ce se împărtăşesc [de ceva], [de bună seamă că] neîncepute le-a spus [a fi] pe cele împărtăşite [celor ce sînt][573].

[19] Aşadar, puterile care purced din ascunzimea cea mai-presus-de-fiinţă – [puteri] îndumnezeitoare sau de-fiinţă-făcătoare sau de-înţelepciune-dăruitoare – le socoţi a fi dintre cele ce se împărtăşesc [de ceva] ori dintre cele împărtăşite [zidirilor]? Bine, dar dacă sînt dintre cele ce se împărtăşesc, atunci va trebui să căutăm alte puteri asemănătoare, de care să se împărtăşească. Vezi că puterile vor fi neapărat dintre cele împărtăşite [zidirilor], şi nu dintre cele ce se împărtăşesc [de ceva]? Pe lângă aceasta, dacă puterea îndumnezeitoare are trebuinţă de o alta îndumnezeitoare (că

ἄλλης καὶ ταύτῃ πάλιν ἑτέρας καὶ τοῦτο ἐπ' ἄπειρον. Ἡ ἐκθεωτικὴ ἄρα δύναμις μεθεκτόν, ἀλλ' οὐ μετέχον ἐστίν. Ἔτι, ἐπειδήπερ εἰσὶ τὰ μετέχοντα Θεοῦ, ἢ τῆς οὐσίας αὐτοῦ μεθέξουσιν ἢ τῆς δυνάμεως ἢ τῆς ἐνεργείας. Ἀλλὰ τῆς δυνάμεως καὶ ἐνεργείας οὐ μεθέξουσι· μετέχοντα γὰρ καὶ ταῦτὰ εἰσι καὶ κτιστὰ κατὰ τὴν σὴν σοφίαν· οὐκοῦν τῆς οὐσίας τοῦ Θεοῦ μεθέξουσιν, ὅπερ ἄτοπόν ἐστι. Προσέτι καὶ αὗται αἱ δυνάμεις, εἰ μὴ τῶν μεθεκτῶν, ἀλλὰ τῶν μετεχόντων εἶεν, τίνος γε ἄλλου μεθέξουσιν ἢ τῆς ὑπερουσίου οὐσίας τοῦ Θεοῦ; Οὐ γὰρ δυνάμεων ἑτέρων πάλιν ὁμοίων. Δύο τοίνυν τὰ ἄτοπα συμβήσεται· τό τε μεθεκτὴν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ καὶ τὸ τὰς δυνάμεις οὐσίας γεγενῆσθαι καὶ οὐχ ἁπλῶς οὐσίας, ἀλλ' οὐσίας Θεοῦ· ἡ μὲν γὰρ δύναμις πρόεισιν εἰς ἐνέργειαν καὶ ἐκ τῆς ἐνεργείας τὸ ἀποτέλεσμα γίνεται· ἡ δὲ οὐσία τοῦτ' αὐτό ἐστι μετεχομένη καὶ τῆς αὐτῆς οὐσίας κατὰ μετοχὴν ποιεῖται τὰ μετέχοντα. Ὁρᾷς τὴν ἀτοπίαν ὅσην, καὶ ὡς ὁ λέγων τῶν μετεχόντων εἶναι τὰς δυνάμεις καὶ κτιστάς, καθάπερ οὗτος, ὄντως πολύθεός ἐστιν, οὐχὶ μίαν εἶναι δεικνύς τὴν οὐσίαν τοῦ Θεοῦ, ἀλλὰ πολλὰς καὶ διαφόρους;

[20] Ἡμεῖς οὖν οἱ Θεὸν ἕνα προσκυνοῦντες παντοδύναμον, τῶν μεθεκτῶν εἶναι τὰς δυνάμεις ἴσμεν τοῦ Θεοῦ, συμφώνως τοῖς ἁγίοις, καὶ οὐδέποτε ἠργμένας πάσας, οὐχ ὡς ἐνεργεῖν ἀλλ' ὡς ὑπάρχειν, εἰ καὶ μὴ καθ' ἑαυτάς· μεθεκτὰς μὲν γάρ, ὡς ἐν Θεῷ προϋπαρχούσας,

---

[574] Aceasta o zice – sfântul Grigorie – în ipoteza sus pomenită: cum că nu ar fi ceva împărtăşit [cuiva], ci ceva ce se împărtăşeşte [de ceva].
[575] Adică: fiindcă participă nu la altceva, decât la Dumnezeu Însuşi.
[576] Adică: substanţe, esenţe.
[577] Adică împărtăşite [zidirilor].
[578] Adică: le ştim a fi – toate – fără-de-început.

[doar] aşa poate fi [una] împărtăşită [cuiva], şi nu [una] care se împărtăşeşte [de ceva]), atunci şi aceea va avea trebuinţă de o alta şi aceasta – iarăşi – de o alta şi aşa la nesfârşit. Deci puterea îndumnezeitoare este ceva împărtăşit [cuiva], şi nu ceva ce se împărtăşeşte [de ceva]. Mai mult, fiindcă[574] se împărtăşesc de *Dumnezeu*[575], [acestea] se împărtăşesc ori de fiinţa Lui ori de puterea [Lui] sau de lucrarea [Lui]. Dar [e limpede că] de puterea şi lucrarea Lui nu se împărtăşesc; că şi acestea sînt [tot] ceva-uri ce se împărtăşesc [de ceva] şi [sînt] zidite – [aceasta] după înţelepciunea ta; prin urmare se împărtăşesc de fiinţa lui Dumnezeu, ceea ce e absurd. Mai mult, dacă puterile acestea însele nu ar fi dintre cele împărtăşite [zidirilor], ci dintre cele ce se împărtăşesc [de ceva], [atunci] de ce altceva s-ar împărtăşi, dacă nu de fiinţa lui Dumnezeu cea mai-presus-de-fiinţă? Că doar nu tot de alte puteri asemenea [lor]. Prin urmare două absurdităţi se vor întâmpla: [faptul de] a fi cu putinţă de împărtăşit [cuiva] fiinţa lui Dumnezeu şi [faptul de] a deveni fiinţe[576] puterile [acestea], şi nu fiinţe şi atât, ci fiinţe ale lui Dumnezeu; că, pe de o parte, puterea purcede la lucrare, iar din lucrare survine rezultatul; pe când fiinţa este [chiar] ea însăşi împărtăşită [cuiva] şi de aceeaşi fiinţă le face – prin împărtăşire – pe cele părtaşe [de ea]. Vezi câtă absurditate şi [vezi] cum [că] acela care spune că puterile sînt ale celor ce se împărtăşesc [de ceva] şi că sînt zidite – precum [spune] acesta – e cu adevărat politeist, nu una arătând a fi fiinţa lui Dumnezeu, ci mai multe şi deosebite?

[20] Noi, aşadar, cei ce ne închinăm Unuia Dumnezeului atotputernic, [nu altundeva decât] între cele împărtăşibile[577] ştim a fi puterile lui Dumnezeu, în conglăsuire cu sfinţii, şi – toate – nicicând începute[578], [aceasta] nu din unghiul faptului de a lucra, ci din unghiul faptului

ὁ μέγας ἔφη Διονύσιος· τὰ δὲ μεθεκτὰ οὐδέποτε ἤρξατο, κατὰ τὸν θεῖον Μάξιμον, τοῦ εἶναι, οὐδ' ἔστι «πρεσβύτερον αὐτῶν τὸ 'οὐκ ἦν'», ἀλλ' ἀεί εἰσιν ἐκ τοῦ ἀεὶ ὄντος Θεοῦ, περὶ αὐτὸν ἀχωρίστως ἀεὶ ὄντα καὶ ἐν αὐτῷ ἐνυπάρχοντα συναϊδίως. Οὐ γὰρ δὴ φοβηθησόμεθά σου τὰ τῆς ματαιοτεχνίας σοφίσματα καὶ τὰς διθεΐας καὶ πολυθεΐας καὶ τοὺς συνθέτους θεούς, ἃ σὺ καθάπερ τινὰ μορμολύκια καθ' ἡμῶν καὶ τῶν ἁγίων προβάλλῃ, δεδιττόμενος μὴ τοὺς ἐν ἡλικίᾳ, εὖ ἴσθι, ἀλλὰ τὰ νήπια, καὶ δι' ὧν ἃ σὺ πάσχεις ἡμῶν καταψεύδῃ τοῖς σεαυτοῦ λόγοις ὡς πολλάκις δείκνυται περιτρεπόμενος καὶ σαυτῷ συγκατασπάσαι τοὺς ἄλλους, φεῦ, ἐπιχειρῶν, ὡς τῶν ὀρθῶν δογμάτων συναπαγάγοις δολίως, περιβάλλων τοῖς ἐκ τῶν λόγων τεχνάσμασιν.

[21] «Ἧι μὲν γάρ», φησίν, «ἀΐδια καὶ ἄκτιστα πολλά φατε, ὑφειμένα τε καὶ τὸ τούτων ὑπερκείμενον, πολλοὺς λέγετε θεούς, ᾗ δὲ μὴ διῃρημένως ὑπὸ τοῦ θεοῦ ὑφεστηκότα καὶ τοῦ αὐτοῦ θεοῦ τὸ μὲν δόξαν ὁρατήν, τὸ δὲ οὐσίαν ἀόρατον, ὡς ἔχοντος ἀϊδίως καὶ ἀμφότερα, τοὺς δύο θεοὺς εἰς ἕνα συνάγετε σύνθετον θεόν». Πρὸς τίνα οἱ τοιοῦτοι λόγοι καὶ ἡ ἄσχετος καταφορὰ καὶ τὰ ἀπηγορευμένα ταῦτα ἐκγλήματα, μᾶλλον δὲ ληρήματα; Ἢ πᾶσι δῆλον, κἂν ἡμεῖς μὴ λέγωμεν; Ἀκηκόατε γὰρ τῶν εἰρηκότων ἁγίων τὰ μεθεκτὰ πολλά τε καὶ πάντα ἄναρχα καὶ τὸν Θεὸν ἀπειράκις ἀπείρως ὑπερεξῃρημένον τούτων καὶ τοὺς εἰπόντας τὴν θεωρητικὴν

[579] *Despre dumnezeieştile numiri* 11, 6, PG 3, 956 A.
[580] Literal: nu [îl] au mai bătrân decât ele pe 'nu erau'.
[581] *Capete teologice 1*, 48, PG 90, 1100 D, luat de la Grigorie Teologul, *Cuvântul 42*, 17, PG 36, 477 C.
[582] Sau raționamentelor.
[583] Adică: către noi sau către sfinți?

de a exista, măcar că [ele] nu [există] de sine; că marele Dionisie le-a numit împărtăşibile, ca pe unele ce pre-există în Dumnezeu[579]; iar cele împărtăşibile – după [cum zice] dumnezeiescul Maxim – nicicând nu au început a fi, nici nu au «nefiinţa mai bătrână decât ele»[580], ci pururea sînt din Dumnezeu Cela ce pururea este, pururea fiind [ele] împrejurul Său [în chip] nedespărţit şi în El fiind [în chip] împreună-veşnic[581]. Că doar nu ne-om înspăimânta de sofismele deşertului tău meşteşug şi de diteismele şi politeismele şi de [dumne]zeii compuşi, cu care, ca [şi] cu nişte sperietori, vii tu asupra noastră şi asupra sfinţilor – [şi] cu care îi sperii nu pe vârstnici (s-o ştii bine!), ci pe prunci – şi în chip mincinos ne învinuieşti de cele de care [de fapt] tu pătimeşti, adesea venind în răspăr cu propriile tale cuvinte, cum în multe rânduri s-a arătat, şi străduindu-te – vai! – a-i trage [şi] pe alţii la tine însuţi şi, în chip viclean, a-i răzleţí de la dogmele cele drepte, îmbrobodindu-i cu întorsăturile vorbelor[582].

[21] Că zice: «întrucât vorbiţi despre [mai] multe [care sînt] veşnice şi nezidite şi [care sînt] mai prejos şi despre ceea ce stă deasupra lor, atunci [nu faceţi altceva decât să] spuneţi [că sînt] mai mulţi dumnezei; iar întrucât [în chip] nedespărţit [spuneţi] a subzista în Dumnezeu [slava şi fiinţa Lui] şi – ale [unuia şi] aceluiaşi Dumnezeu [fiind ele] – slava [o spuneţi a fi] văzută, pe când fiinţa nevăzută, [atunci,] veşnic avându-le [El] pe amândouă, pe cei doi dumnezei îi împreunaţi într-un singur dumnezeu compus». Către cine[583] [sînt spuse] asemenea cuvinte şi cumplitele acestea învinuiri, mai bine zis aiuriri? Sau e limpede tuturora, chiar şi fără să [o mai] spunem? – că doar i-aţi auzit pe sfinţii care zic că cele împărtăşite [zidirilor] sînt multe şi că toate sînt fără-de-început şi

δόξαν τοῦ Θεοῦ ἀΐδιον καὶ συναΐδιον αὐτῷ. Δῶμεν δ' ὅμως ἡμεῖς διὰ βραχέων λόγον ὅπως ταῦτα λέγεται· καὶ γὰρ καὶ ἡμεῖς συνάδομεν ἐκείνοις.

[22] Ἡμεῖς, ὦ βέλτιστε, ταῦτα πάντα ἔχειν τὸν Θεόν φαμεν, μᾶλλον δέ, ἵνα κατὰ τὸν μέγαν Διονύσιον εἴπωμεν, προέχειν καὶ ὑπερέχειν ἀσχέτως καὶ συνειλημμένως καὶ ἑνιαίως, ὡς ἡ ψυχὴ ἔχει μονοειδῶς ἐν ἑαυτῇ πάσας τὰς προνοητικὰς τοῦ σώματος δυνάμεις. Ὡς οὖν ἡ ψυχὴ καὶ τῶν ὀφθαλμῶν ἐκκεκομμένων ἢ τῶν ὤτων ἐκκεκωφημένων ἐν ἑαυτῇ ἔχει κατ' οὐδὲν ἧττον τὰς προνοητικὰς τοῦ σώματος δυνάμεις, οὕτω καὶ τοῦ κόσμου μήπω ὄντος τὰς προνοητικὰς τοῦ κόσμου δυνάμεις εἶχεν ὁ Θεός· καὶ ὡς ἡ ψυχὴ οὐκ ἔστιν ἁπλῶς αἱ προνοητικαὶ δυνάμεις, ἀλλὰ δυνάμεις ἔχει, οὕτω δὴ καὶ ὁ Θεός· καὶ ὡς ἡ ψυχὴ μία καὶ ἁπλῆ καὶ ἀσύνθετός ἐστι, μηδαμῶς διὰ τὰς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς δυνάμεις πολλαπλασιαζομένη ἢ συντιθεμένη, οὕτω καὶ ὁ Θεός, οὐ πολυδύναμος μόνον ἀλλὰ καὶ παντοδύναμος ὑπάρχων, διὰ τὰς ἐν αὐτῷ δυνάμεις τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος οὐκ ἐκχωρεῖ. Πολλὰ δ' ἂν τῆς ψυχῆς καὶ ἔργα κατὰ σεαυτὸν ἐξετάζων καταμάθοις, ἃ καὶ τοῦ σώματος διεζευγμένη ἔχει καὶ τῷ σώματι τούτων μεταδίδωσι συνεζευγμένη. Οὐ μὴν ἀλλὰ τὴν αὐτοζωὴν καὶ αὐτοθέωσιν καὶ τὰ τοιαῦτα τῶν ὄντων ἀρχὰς καὶ παραδείγματα λέγων ὁ μέγας Διονύσιος, οὐ προέχειν τὸν Θεὸν αὐτά φησι; Πῶς οὖν ἃ προέχει ὁ Θεὸς ἀρκτά; Εἰ δὲ καὶ ὡς δωρεὰς προβάλλεται, πῶς δωρεῖται ἃ οὐκ ἔχει; εἰ δὲ καὶ

[584] Maxim Mărturisitorul, *Capete teologice 1*, 49, PG 90, 1101 A.
[585] *Despre dumnezeieştile numiri* 5, 5, PG 3, 820 B.
[586] Literal: colectiv. [587] *Ibidem*, 5, 6, PG 3, 820 D.
[588] Adică: purtătoare de grijă trupului; *ididem*, 5, 7, PG 3, 821 B.
[589] Adică: lucrări. [590] Literal: dejugat. [591] Literal: le transmite.

că Dumnezeu e de nesfârşite ori nesfârşit mai presus de acestea şi pe cei ce spun că slava lui Dumnezeu cea [cu putință de a fi] văzută e veşnică şi e împreună-veşnică Lui[584]. Să zicem însă şi noi pe scurt în ce înțeles se spun acestea; că şí noi împreună-glăsuim cu aceia.

[22] Noi, o, preabune [prietene], zicem că Dumnezeu le are pe toate acestea, ba mai mult (ca să spunem ca marele Dionisie), [că] de mai înainte le are şi că le covârşeşte[585] în chip nerelațional şi deopotrivă[586] şi unitar[587], precum sufletul are unitar în sine toate puterile proniatoare ale trupului[588]. Aşadar, după cum sufletul, [chiar] şi scoşi de-ar fi ochii [trupului] sau asurzite urechile, cu totul neîmpuținat are în sine puterile proniatoare ale trupului, [tot] astfel, [chiar] şi încă nefiind lumea, Dumnezeu avea puterile proniatoare ale lumii; şi după cum sufletul nu *este* puterile proniatoare, ci *are* puteri proniatoare, [tot] aşa şi Dumnezeu; şi după cum sufletul este unul şi simplu şi necompus, nicidecum multiplicându-se ori compunându-se din pricina puterilor celor [ce sînt] în el şi din el, [tot] aşa şi Dumnezeu, nu doar multi-puternic fiind, ci şi atotputernic, nu leapădă simplul şi unitarul din pricina puterilor celor [ce sînt] în El. Iar de vei lua seama la tine însuți, vei afla [că există] şi multe lucruri ale sufletului[589] pe care [acesta] le are şí când este dezlegat de trup[590] şi pe care le dă şí acestuia când este legat de el[591]. Şi zicând marele Dionisie că însăşi-viața şi îndumnezeirea-însăşi şi cele de felul acesta sînt paradigme şi izvoade ale celor ce sînt[592], [oare] nu spune că Dumnezeu le are de mai înainte [în Sine] pe acestea[593]? Cum dar să fie începute [deodată cu zidirea] cele pe care Dumnezeu

[592] Adică: modele şi principii ale făpturilor.
[593] *Despre dumnezeieştile numiri* 5, 8, PG 3, 824 C.

προορισμοὺς καὶ θεῖα θελήματα τὰ αὐτὰ ταῦτα ὁ αὐτός φησι, πῶς οἱ προορισμοὶ καὶ τὰ θεῖα θελήματα οὐκ ἄναρχα καὶ ἄκτιστά ἐστι; Πῶς οὖν ὁμολογουμένως «ἓν μόνον ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ, τὰ δὲ παρὰ ταύτην γενητῆς ἐστι φύσεως καὶ ἀρχὴν ἔσχε χρονικήν»; Τίς ποτε τοῦτο τῶν ἁγίων εἶπεν; εἰ δὲ μηδείς, πῶς ὁμολογεῖται;

[23] Συνείρει δὲ τούτῳ καὶ ἕτερον τῶν ὡσαύτως ὁμολογουμένων, «μηδεμίαν ἄλλην εἶναι ὀντότητα μεταξὺ τῆς οὐσίας τοῦ Θεοῦ καὶ τῶν γενητῶν». Εἰ μὲν οὖν οὐσίαν κἀνταῦθα λέγει τὴν δύναμιν τοῦ Θεοῦ τὴν μεθεκτὴν καὶ οὐσιοποιόν, ἣν καὶ 'αὐτοουσίωσιν' ὁ μέγας ὀνομάζει Διονύσιος, οὐκ ἔδει φάναι τῆς οὐσίας τοῦ Θεοῦ καὶ τῶν γενητῶν ἁπλῶς πάντων μηδὲν εἶναι μεταξύ, ἀλλὰ τῶν γενητῶν μόνον οὐσιῶν, ἐπεὶ τῶν ζώντων ἢ ζώντων, αἰσθητικῶς ἢ λογικῶς ἢ νοερῶς, οὐχ ἡ οὐσιοποιὸς τοῦ Θεοῦ δύναμις ποιητικὴ ἀλλ' ἡ ζωοποιός, καὶ τῶν σοφιζομένων ἡ σοφοποιός, καὶ τῶν θεουμένων ἡ θεοποιός, ἀφ' ὧν καὶ θεὸν καὶ σοφίαν καὶ ζωήν, ἀλλ' οὐκ οὐσίαν μόνον νοοῦμέν τε καὶ ὀνομάζομεν τὴν ὑπερούσιον καὶ ἐνιαίαν κρυφιότητα ἐκείνην. Εἰ δ' ἐκείνην αὐτὴν τὴν ὑπερούσιον, κἀνταῦθα καὶ ἀμέθεκτον, κρυφιότητά φησι, τὴν ἐν ἀποκρύφοις ὑπεριδρυμένην – ἣν καὶ ἀνωτέρω μόνην ἄναρχον εἶναι ἰσχυρίζετο, περιελὼν αὐτῆς κακῶς τὰς συναϊδίους αὐτῆς δυνάμεις τε καὶ ἐνεργείας, μᾶλλον δὲ τὰ θεοπρεπέστατα ἐκεῖνα ἔργα, τὰ μηδέποτε

---

[594] Tot acolo. [595] Vezi, mai sus, paragraful 4.

[596] Sau «de-sine-înființare»; *Despre dumnezeieștile numiri* 11, 6, PG 3, 956 A.

[597] Aceste «ființe *făcute și atât*» (sau «strict ființe») sînt – cum numaidecât se va vedea – zidirile caracterizate doar de faptul de a fi, neînzestrate – pe lîngă faptul de a fi – și cu viață, înțelepciune ori dar îndumnezeitor; altfel zis: regnul mineral.

[598] Literal: cea de-dumnezeire-făcătoare (sau de-dumnezeiesc-făcătoare).

[599] E vorba de ultimele trei puteri: cea făcătoare-de-viață, cea făcătoare-de-înțelepciune și cea îndumnezeitoare ('făcătoare de dumnezeire').

le are de mai înainte [în Sine]? Iar de [vreme ce] acelaşi le numeşte tot pe acestea şi 'prehotărâri' şi 'voi dumnezeieşti'[594], cum dar pre-hotărârile şi voile dumnezeieşti să nu fie fără-de-început şi nezidite? Cum, aşadar, [zici tu că] '[în mod] recunoscut [de toţi] un singur lucru e fără-de-început, [şi anume] fiinţa lui Dumnezeu, iar cele dinafara ei au fire zidită şi început temporal'[595]? Cine dintre sfinţi a spus vreodată [una ca] aceasta? Iar de [nu a spus-o] nimeni, cum [de zici că] e recunoscută [de toţi]?

[23] Şi adaugă la aceasta şi alta, dintre cele la fel de recunoscute, [cum că] «nici o altă fiinţime nu [mai] este între fiinţa lui Dumnezeu şi cele făcute». Aşadar, dacă aici numeşte 'fiinţă' puterea lui Dumnezeu cea de-fiinţă-făcătoare şi împărtăşită [zidirilor] (căreia marele Dionisie îi spune şi însăşi-înfiinţare[596]), nu trebuia să spună că nu mai este nimic între fiinţa lui Dumnezeu şi – îndeobşte – 'toate cele făcute', ci [între fiinţa lui Dumnezeu] şi 'toate fiinţele cele *făcute şi atât*'[597], fiindcă celor vii, din unghiul faptului de a fi vii – [vii în chip] simţit ori cuvântător sau înţelegător –, nu puterea lui Dumnezeu cea de-fiinţă-făcătoare le este făcătoare, ci cea de-viaţă-făcătoare, iar celor înţelepte cea de-înţelepciune-făcătoare, iar celor îndumnezeite cea îndumnezeitoare[598], [puteri] de la care[599] acea ascunzime mai-presus-de-fiinţă şi unitară o înţelegem [a fi] – şi o numim – şi 'Dumnezeu' şi 'înţelepciune' şi 'viaţă', nu doar 'fiinţă'. Iar dacă aici [numeşte 'fiinţă'] însăşi ascunzimea aceea cea mai presus-de-fiinţă şi neîmpărtăşită [zidirilor], cea mai-presus-aşezată întru cele ascunse[600] – despre care susţinea mai sus şi că este singura [realitate] fără-de-început, în chip rău

[600] *Despre dumnezeieştile numiri* 5, 2, PG 3, 816 C.

ἠργμένα – εἰ τοίνυν ταύτην λέγει, καὶ ταύτης καὶ τῶν γενητῶν μηδεμίαν ἄλλην εἶναι μεταξὺ ὀντότητά φησιν, αὐτὴν λοιπόν φησι τὴν ὑπερούσιον οὐσίαν τοῦ Θεοῦ ὀντότητα τῶν γενητῶν ὡς μεθεκτὴν ὑπάρχειν· τοῦτο δὲ αὐτὸ καταφανὲς καὶ διὰ τοῦ μηδεμίαν ἄλλην φάναι πεποίηκεν· εἰ γὰρ μὴ ἄλλη, αὐτὴ ἐξ ἀνάγκης. Μεθέξουσιν ἄρα τὰ γενητὰ πάντα τῆς ἀμεθέκτου οὐσίας τοῦ Θεοῦ. Πῶς γὰρ οὐ μεθέξει τῆς ὀντότητος ἕκαστον τῶν γενητῶν; Πῶς δὲ ἔσται ἢ αἰὼν ἢ χρόνος ἢ τόπος καὶ τὰ ἐν αὐτοῖς, εἰ μὴ τοῦ εἶναι, ταὐτὸν δὲ εἰπεῖν ὀντότητος, μετέχει; Μεθέξει τοίνυν, εἴπερ ἔσται τούτων ἕκαστον, ὅσα τε οὐσίαι εἰσὶ καὶ ὅσα μή, τῆς οὐσίας τοῦ Θεοῦ· οὐκ ἄλλη γάρ, ἀλλ' αὕτη μόνη κατὰ σὲ τῶν γενητῶν ἐστιν ὀντότης· καὶ τὸ πάντων ἀτοπώτατον, ὅτι οὐδὲ οὐσίαι ἔσονται τὰ οὐσίας μετέχοντα, καὶ ταῦτα θείας.

[24] Εἰ δὲ καὶ ἀρχή ἐστι τῶν ὁπωσδήποτε ὄντων ἡ ὀντότης, πῶς οὐχὶ καὶ ὑπερ αὐτήν ἐστιν ὁ ὑπεράρχιος; Εἰ δ' ἀρχὴ τῶν ἐξ αὐτῆς ἐξ ἀνάγκης ὑπερέχει, πῶς οὐχ ὑπὲρ τὰ ὄντα ἡ ὀντότης; Εἰ δ' αὕτη μὲν ὑπὲρ τὰ μετέχοντα, ὁ δ' ὑπεράρχιος ὑπὲρ αὐτήν, πῶς οὐ μεταξὺ τῶν μετεχόντων καὶ τῆς ἀμεθέκτου ὑπερουσιότητος ἡ μεθεκτὴ ὀντότης; Καὶ μὴν αἱ τοιαῦται ἅπασαι ἀρχαὶ οὐδὲν

---

[601] Sau 'preacuvenite lui Dumnezeu'; sau 'întru totul cu-dumnezeiască-cuviință'.

[602] Despre lucrurile acestea fără-de-început ale lui Dumnezeu vezi, mai sus, paragraful 6.

[603] Adică: nu doar prin faptul că spune că e singura fără-de-început (cum tocmai s-a zis), ci şi prin faptul că spune cum că între ființa lui Dumnezeu şi zidiri nu mai e nici o altă ființime.

[604] Adică: de faptul de a fi.

[605] Sau: cele ce sînt ființe şi cele ce nu; întrucât pe lângă ființă, există şi puteri şi lucrări ale ființei.

[606] Literal: superior.

[607] «aceasta»: ființimea, 'fiimea', 'estimea', faptul de a fi.

retezându-i veşnicele ei puteri şi lucrări, mai bine zis acele lucruri preapotrivite lui Dumnezeu[601], cele nicicând începute[602] – dacă, deci, pe aceasta o numeşte [aici 'fiinţă'] şi spune că între aceasta şi cele făcute nu este nici o altă fiinţime, [atunci de fapt] spune că însăşi fiinţa lui Dumnezeu cea mai presus-de-fiinţă este – ca una ce e împărtăşită [zidirilor] – fiinţimea celor făcute; iar lucrul acesta [ni] l-a învederat şi prin faptul că spune limpede [cum] că nu mai e 'nici o alta'[603]; iar de nu mai e nici o alta, neapărat că [însăşi] aceasta [le este fiinţime zidirilor]. Prin urmare, toate cele făcute se împărtăşesc de fiinţa lui Dumnezeu cea neîmpărtăşită [nimănui] – căci cum să nu se împărtăşească de fiinţime[604] fiecare din cele făcute?; şi cum ar mai fi [cu putinţă să fie] veac sau timp sau loc şi cele dintr-însele, dacă [acestea] nu s-ar împărtăşi de faptul de a fi, adică de fiinţime? Aşadar, spre a fi, fiecare dintre acestea – [şi] câte sînt fiinţe şi câte nu[605] – se va împărtăşi de [însăşi] fiinţa lui Dumnezeu (că nu alta, ci singură aceasta este – după tine – fiinţimea celor făcute); şi – lucrul cel mai absurd dintre toate – e că nici fiinţe nu vor [mai] fi cele ce se împărtăşesc de fiinţă, ba chiar de cea dumnezeiască.

[24] Iar dacă fiinţimea este începutul [adică obârşia] oricăreia dintre cele ce sînt, cum Cel mai-presus-de-început să nu fie mai presus şi decât aceasta? Iar dacă începutul [sau obârşia] neapărat că este mai presus[606] decât cele [începute] dintr-însul, atunci cum fiinţimea să nu fie mai presus de cele ce sînt? Iar dacă, pe de o parte, aceasta[607] e mai presus de cele ce sînt şi, pe de altă parte, Cel mai-presus-de-început e mai presus decât ea, atunci cum fiinţimea cea împărtăşită [celor ce sînt] să nu fie [la mijloc] între cele ce se împărtăşesc [de ea] şi mai-presus-de-fiinţa cea neîmpărtăşită [nimănui]? Iar toate aceste începuturi

ἕτερόν εἰσιν ἢ οἱ λόγοι τῶν ὄντων καὶ τὰ παραδείγματα, μεθεκτοὶ μὲν τοῖς οὖσιν, ἐξῃρημένοι δὲ τῶν ὄντων, ὡς τῷ δημιουργικῷ νῷ ἐνυπάρχοντες καὶ προϋπάρχοντες, καθ' οὓς γέγονε τὰ πάντα. Πῶς οὖν οὐκ εἰσὶν οὗτοι μεταξὺ τοῦ ἀμεθέκτου καὶ τῶν μετεχόντων; Οὐ μὴν ἀλλ' ἐπειδήπερ εἰσὶ τὰ μετέχοντα Θεοῦ, ἡ δὲ ὑπερούσιος οὐσία τοῦ Θεοῦ παντάπασιν ἀμέθεκτος, ἔστιν ἄρα τι μεταξὺ τῆς ἀμεθέκτου οὐσίας καὶ τῶν μετεχόντων, δι' οὗ ταῦτα τοῦ Θεοῦ μετέχουσιν. Ἂν δὲ σὺ ἀνέλῃς τὸ μεταξὺ τοῦ ἀμεθέκτου καὶ τῶν μετεχόντων, ὦ τῆς ζημίας, διέστησας ἡμᾶς Θεοῦ, τὸ συνδοῦν ἐκ μέσου ποιησάμενος καὶ χάσμα μέγα καὶ ἀδιάβατον μεταξὺ θέμενος ἐκείνου καὶ τῆς γενέσεως καὶ διοικήσεως τῶν γενητῶν. Δεῖ δὴ ζητεῖν ἡμᾶς Θεὸν ἕτερον οὐκ ὄντα μόνον αὐτοτελῆ, αὐτενέργητον, αὐτὸν ἑαυτὸν δι' ἑαυτοῦ θεώμενον, ἀλλὰ καὶ ἀγαθόν· οὕτω γὰρ οὐκ ἀρκεσθήσεται κινεῖσθαι μόνον τῇ ἑαυτοῦ θεωρίᾳ· μήδ' ἀνενδεῆ μόνον, ἀλλὰ καὶ ὑπερπληρέστατον· οὕτω γὰρ βουλόμενος ὡς ἀγαθὸς τοῦ εὖ ποιεῖν οὐκ ἀδυνάτως ἕξει· μηδ' ἀκίνητον μόνον ἀλλὰ καὶ κινούμενον· οὕτω γὰρ ἅπασι παρέσται ταῖς δημιουργικαῖς καὶ προνοητικαῖς προόδοις τε καὶ ἐνεργείαις. Καὶ ἁπλῶς δεῖ ζητεῖν ἡμᾶς Θεὸν ὄντά πως μεθεκτόν, οὗ μετέχοντες ἕκαστος οἰκείως ἑαυτοῦ κατὰ τὴν τῆς μεθέξεως ἀναλογίαν ὄντες καὶ ζῶντες καὶ ἔνθεοι ἐσόμεθα.

[25] Ἔστιν ἄρα τι μεταξὺ τῶν γενητῶν καὶ τῆς ἀμεθέκτου ὑπερουσιότητος ἐκείνης, οὐχ ἓν μόνον, ἀλλὰ καὶ

[608] Adică: dacă există cele ce se împărtăşesc de [lucrările lui] Dumnezeu.
[609] Adică: există.
[610] *Ioan* 16, 26.
[611] Literal: 'fiinzi'.
[612] Adică: există.

[sau obârşii] nu sînt nimic altceva decât logosurile celor ce sînt şi paradigmele [lor], împărtăşite celor ce sînt, dar [fiind] mai presus de cele ce sînt, ca unele ce există – şi de mai înainte există – în mintea făcătoare, potrivit cărora s-au făcut toate. Aşadar, cum să nu fie [logosurile] acestea [la mijloc] între ceea ce este [de] neîmpărtăşit [nimănui] şi cele ce se împărtăşesc [de ceva]? Iar, apoi, dacă sînt cele ce se împărtăşesc de Dumnezeu[608], dar fiinţa cea mai-presus-de-fiinţă a lui Dumnezeu este cu totul de neîmpărtăşit [cuiva], prin urmare este[609] ceva între fiinţa de neîmpărtăşit şi cele ce se împărtăşesc [de El], [ceva] prin care acestea se împărtăşesc de Dumnezeu. Iar dacă tu desfiinţezi ceea ce este între ceea ce e de neîmpărtăşit şi cele ce se împărtăşesc – o, ce [nemăsurată] pagubă! – ne-ai depărtat pe noi de la Dumnezeu, desfiinţând ceea ce unea [făptura cu El] şi 'prăpastie mare'[610] şi de netrecut punând între Acela şi facerea şi chivernisirea celor făcute. Trebuie deci să ne căutăm alt Dumnezeu, care să fie nu doar desăvârşit-în-sine, în-sine-lucrător, Însuşi pe Sine Însuşi prin Sine Însuşi văzându-Se, ci [să fie] şi bun (că [doar] aşa nu Se va mărgini la a Se vedea doar El pe Sine Însuşi), şi nu doar fără-de-lipsuri, ci şi întru totul preaplin (că [doar] aşa nu Îi va fi cu neputinţă a face binele, ca un bun, voind [aceasta]), şi nu doar nemişcat, dar şi mişcător (că [doar] aşa va sta alături tuturora, cu ziditoarele şi proniatoarele ieşiri [din Sine] şi lucrări); şi, într-un cuvânt, trebuie să ne căutăm un Dumnezeu [cu putinţă de] împărtăşit cumva [zidirilor], de Care împărtăşindu-ne fiecare în felul propriu, să fim – potrivit [felului] împărtăşirii – existenţi[611] şi vii şi îndumnezeiţi.

[25] Este[612] – prin urmare – ceva între cele făcute şi mai-presus-de-fiinţa aceea cea neîmpărtăşibilă, şi nu

πολλὰ καὶ τοσαῦτα, ὁπόσα δὴ καὶ τὰ μετέχοντα. Ταῦτα δ' οὐ καθ' ἑαυτά, τὰ μέσα ἐκεῖνα δηλαδή· δυνάμεις γάρ εἰσι τῆς ὑπερουσιότητος ἐκείνης, μοναχῶς καὶ ἑνιαίως προειληφυίας καὶ συνειληφυίας τὴν τῶν μεθεκτῶν ἅπασαν πληθύν, δι' ἣν κατὰ τὰς προόδους πολυπλασιαζομένη καὶ μετεχομένη παρὰ πάντων ἀνεκφοιτήτως ἔχεται τοῦ ἀμεθέκτου καὶ ἑνός. Εἰ γὰρ καὶ τὸ τοῦ κύκλου κέντρον, ἔχον τὴν τοῦ ἀφιέναι παρ' ἑαυτοῦ πάσας τὰς τοῦ κύκλου γραμμὰς δύναμιν ἐν ἑαυτῷ, οὐ δύο ἢ πολλά ἐστι σημεῖα, πολλῷ μᾶλλον ὁ Θεὸς πᾶσαν διπλόην ἀπαναίνεται, τὰς δυνάμεις ἐν ἑαυτῷ καὶ τὰ παραδείγματα τῶν γενητῶν προέχων. Ὑπάρχουσιν οὖν αἱ τοιαῦται δυνάμεις καὶ τὰ παραδείγματα καὶ προϋπάρχουσιν, ἀλλ' οὐχ ὡς οὐσίαι οὐδ' ὡς αὐθυπόστατα, οὐδέ τι ταῦτα συντελοῦσιν εἰς τὸ εἶναι τὸν Θεόν· ὑποστάτης γάρ ἐστιν αὐτῶν, ἀλλ' οὐχ ὑπὸ τούτων ὑφέστηκεν αὐτός· οὐ γὰρ τὰ περὶ Θεόν ἐστιν οὐσία τοῦ Θεοῦ, ἀλλ' αὐτός ἐστιν οὐσία τῶν περὶ αὐτόν. Ἧι μὲν ἔστιν αὐτὸς ὑπερούσιος οὐσία, ἄῤῥητός τε καὶ ἀπερινόητος, ἄσχετός τε καὶ ἀμέθεκτος, ᾗ δέ ἐστιν οὐσία τῶν ὄντων καὶ ζωὴ τῶν ζώντων καὶ σοφία τῶν σοφιζομένων καὶ ἁπλῶς πάντων τῶν ὁπωσοῦν ὄντων ὀντότης καὶ δύναμις καλλοποιός, καὶ νοεῖται καὶ λέγεται καὶ μετέχεται παρὰ τῶν γενητῶν. Εἰ γὰρ κατὰ τὸν μέγαν Διονύσιον «οὐ δι' ἀγνωσίας μόνον, ἀλλὰ καὶ διὰ γνώσεως ὁ Θεὸς γινώσκεται καὶ ἔστιν αὐτοῦ καὶ νόησις καὶ λόγος

---

[613] Adică: nu fiinţează prin ele însele, autonom.
[614] Sau: multiplicându-se.
[615] «ea»: fiinţa aceea cea mai-presus-de-fiinţă.
[616] Sau: din unghiul ieşirilor.
[617] Adică: participată.
[618] Literal: de a fi unul, de a fi unitate (numerică); vezi Dionisie Areopagitul, *Despre dumnezeieştile numiri* 13, 2, PG 3, 977 C.
[619] Sau facultatea.
[620] Adică: de a emite.
[621] Literal: refuză toată dublarea.
[622] *Despre dumnezeieştile numiri* 1, 7, PG 3, 596 C; *idibem*, 11, 6, PG 3, 956 A.

doar unul, ci chiar multe, adică tot atâtea câte sînt şi cele ce se împărtăşesc [de ele]; dar acestea – adică acele [realităţi] mijlocii – nu sînt[613] de sine; pentru că [nu] sînt [altceva decât] puteri ale mai-presus-de-fiinţei aceleia, care [în chip] singular şi unitar a anticipat şi a zămislit toată mulţimea celor ce se împărtăşesc, [mulţime] datorită căreia înmulţindu-se[614] [ea[615]] după ieşiri[616] şi împărtăşită fiind[617] de către toate, [în chip] neieşit [din sine] rămâne la starea de a fi de neîmpărtăşit [nimănui] şi a fi una[618]. Că dacă centrul cercului – măcar că are în sine însuşi puterea[619] de-a lăsa[620] de la sine toate liniile cercului – nu este două ori mai multe puncte, cu atât mai mult Dumnezeu nu suferă nici o îndoire[621], măcar că de mai înainte are în Sine puterile, precum şi paradigmele celor făcute. Există, aşadar, asemenea puteri şi paradigme – şi chiar preexistă –, dar nu ca fiinţe, nici ca de-sine-subzistente, nici contribuind ele [în vreun fel] la faptul de a fi Dumnezeu [dumnezeu]; că [*El*] este suportul lor [ontologic][622], şi *nu* [El] subzistă din acestea; că *nu* cele dimprejurul lui Dumnezeu sînt fiinţă a Lui, ci *El* este fiinţa celor dimprejurul Lui; pe de o parte, din unghiul faptului că El este fiinţă mai-presus-de-fiinţă, e negrăit şi de neînţeles, nerelaţional şi neîmpărtăşibil[623], iar pe de alta, din unghiul faptului că este fiinţă a celor ce sînt şi viaţă a celor vii şi înţelepciune a celor înţelepţite şi – într-un cuvânt – fiinţime a toate cele ce sînt şi putere împodobitoare [a acestora], [El] este şí înţeles, şí spus, şí împărtăşit de către cele făcute. Că dacă – după marele Dionisie – «Dumnezeu nu Se cunoaşte doar prin necunoaştere, ci şi prin cunoaştere, şi este[624] şí înţelegere a Sa, şí cuvânt, şí ştiinţă,

[623] Adică: de neîmpărtăşit [nimănui].
[624] Adică: există.

καὶ ἐπιστήμη καὶ ἐπαφὴ καὶ αἴσθησις καὶ δόξα καὶ φαντασία καὶ ὄνομα καὶ τἆλλα πάντα», τοιγαροῦν καὶ μέθεξίς ἐστιν αὐτοῦ, τοῦτο μὲν διὰ τὸ νόησιν αὐτοῦ ὑπάρχειν καὶ αἴσθησιν καὶ ἐπαφήν, τοῦτο δὲ διὰ τὸν ὕστερον ἐπενηνεγμένον συμπεριληπτικώτατον λόγον. Ἀμέθεκτος ἄρα καὶ μεθεκτὸς ὑπάρχει ὁ αὐτὸς Θεός, ἐκεῖνο μὲν ὡς ὑπερούσιος, τοῦτο δὲ ὡς οὐσιοποιὸν ἔχων δύναμίν τε καὶ ἐνέργειαν παραδειγματικὴν καὶ τελικὴν τῶν πάντων.

[26] Ἀλλὰ γὰρ τὰ τοιαῦτα παραδείγματα Πυθαγόρας μὲν καὶ Πλάτων καὶ Σωκράτης ταπεινῶς καὶ ἀναξίως τοῦ Θεοῦ αὐθυπάρκτους ἐδόξασαν ἀρχὰς συναιτίους τῷ Θεῷ. Τούτους οὖν αἰτιατέον ὡς πολυθέους, οἵτινες μεταξὺ τῆς ὑπερουσιότητος ἐκείνης καὶ τῶν γενητῶν θείας οὐσίας ἑτέρας ἀρχικὰς τῶν ὄντων αὐτοσχεδιάσαντες παρ' ἑαυτῶν ὑπέστησαν, «ἃς οὔτε αὐτοὶ ᾔδεισαν» κατὰ τὸ λόγιον «οὔτε οἱ πατέρες αὐτῶν». Ἡμεῖς δὲ καὶ οἱ πατέρες ἡμῶν οὐδὲν τούτων αὐθύπαρκτον δοξάζομεν, οὐδ' ἀναίτιον οὐδὲ συναίτιον Θεῷ, διὸ καὶ προορισμοὺς καὶ προγνώσεις ταῦτά φαμεν καὶ θελήματα Θεοῦ, ὄντα μὲν πρὸ τῶν κτισμάτων ἐν αὐτῷ – πῶς γὰρ οὔ; – προηγμένων δ' ὕστερον τῶν κτισμάτων κατ' αὐτά. «Εἶπε» γάρ, φησί, «καὶ ἐγένετο» «καὶ τὸ ἐννόημα ἔργον ἦν»

---

[625] *Despre numirile dumnezeieşti* 7, 3, PG 3, 872 A; loc citat şi în *Epistola I^a către Varlaam* 10, Palama II, GA, p. 217.

[626] Există, adică.

[627] Sau 'mai apoi adăugat [Scripturilor]'; sau 'mai apoi concluzionat'; e vorba, desigur, de întruparea Cuvântului.

[628] Această «lucrare paradigmatică şi săvârşitoare» pare a fi lucrarea prin care Dumnezeu 'proiectează' toate câte sînt şi – mai apoi – le aduce la existenţă.

[629] Paradigmele celor ce sînt, adică modelele sau izvoadele făpturilor, modele preexistente zidirii.

[630] Literal: de-sine-existente; e vorba de numere şi idei, pe care aceştia le considerau realităţi independente de [Dumne]zeu.

[631] *Ieremia* 16, 13.

şí atingere, şí simțire, şí părere, şí închipuire, şí nume şi toate celelalte»[625], prin urmare este[626] şí împărtăşire a Lui [de către zidiri], aceasta, pe de o parte, datorită faptului că există înțelegere a Sa şi simțire şi atingere, iar pe de alta, datorită preacuprinzătorului Cuvânt, Celui mai apoi venit asupra [noastră][627]. Prin urmare [unul şi] acelaşi Dumnezeu este [şí] neîmpărtăşibil şí împărtăşibil, aceea ca Unul ce este mai-presus-de-ființă, iar aceasta ca Unul ce are putere de-ființă-făcătoare şi lucrare paradigmatică şi săvârşitoare a toate[628].

[26] Că paradigmele acestea[629] Pythagora şi Platon şi Socrate, [în chip] înjositor şi nevrednic de Dumnezeu, le-au socotit, însă, [a fi] obârşii de-sine-stătătoare[630] [şi laolaltă] cu Dumnezeu împreună-pricinuitoare [ale lumii zidite]. Aceştia, aşadar, [nu noi,] se cade a fi învinuiți de politeism, [cei] care între mai-presus-de-ființa aceea şi cele făcute au aşezat alte ființe dumnezeieşti [adică alte substanțe divine] obârşitoare ale celor ce sînt, de la ei înşişi născocindu-le, [ființe] pe care «nici ei nu le ştiuseră [până atunci]», după cuvântul [Scripturii], «nici părinții lor»[631]. Pe când noi şi Părinții noştri nimic dintre acestea nu socotim a fi de-sine-stătător[632], nici necauzat, nici împreună-cauzator cu Dumnezeu, [fapt] pentru care şi le numim pe acestea 'prehotărâri' şi 'precunoaşteri' şi 'voi ale lui Dumnezeu', existente în El de mai înaintea zidirilor (cum nu?[633]), zidirile fiind aduse [la ființă] – mai apoi – potrivit acestora; că [Scriptura] spune «a zis şi s-a făcut»[634] – 'iar gândul era lucru'[635] – şi «toate câte

[632] Literal: de-sine-existent.

[633] Mai neaoş: «dară că?».

[634] *Facerea* 1, 3; *Psalmii* 32, 9 şi 148, 5.

[635] Grigorie Teologul, *In theophania*, PG 36, 320, 41 şi *In sanctum pascha*, PG 36, 629, 11.

καὶ «πάντα ὅσα ἠθέλησεν ἐποίησεν». Εἰ γοῦν καὶ μὴ πολλάς φαμεν ὑπερουσίους ἀρχικάς τε καὶ ποιητικὰς τῶν γεγονότων οὐσίας, ἀλλ' ἓν πᾶσαν διπλόην ἀπαναινόμενον καὶ κατὰ μίαν ἑνοειδῆ καὶ ὑπερηνωμένην ἁπλότητα τὰ πολυειδῆ καὶ μεριστὰ προάγον, ἀλλὰ παντοδύναμον τοῦτ' ἴσμεν καὶ συνεκτικὸν ἁπάντων, ὡς ἐν ἑαυτῷ τὰ πάντα ἔχον καὶ πρὸ κτίσεως. «Εἰ γὰρ ὁ εἷς ἥλιος», κατὰ τὸν μέγα Διονύσιον φάναι, «τὰς τῶν πολλῶν μετοχῶν αἰτίας ἐν ἑαυτῷ μονοειδῶς προείληφε, πολλῷ μᾶλλον ἐπὶ τῆς αὐτοῦ καὶ πάντων αἰτίας προϋφεστάναι τὰ πάντων τῶν ὄντων παραδείγματα κατὰ μίαν ὑπερούσιον ἕνωσιν συγχωρητέον».

[27] Ἔστιν οὖν καὶ ἀεί ἐστι καὶ κυρίως ἐστὶ προορισμὸς καὶ πρόγνωσις καὶ πρόνοια καὶ τὰ τοιαῦτα, καὶ ἀδιαιρέτως ἥνωνται τῷ Θεῷ καὶ τῆς ὑπερουσιότητος ἐκείνης ἕτερά ἐστι, καὶ ὑπὲρ αὐτά ἐστιν ἐκείνη· πῶς γὰρ οὔ; Τί οὖν; ἐπεὶ ταῦτα κατά τινα ὕπαρξιν ἔστιν ἀεί, ἔστι δὲ καὶ ὁ Θεὸς ἀεί, δύο ἢ πολλοὶ ἔσονται θεοί; Διότι δ' αὐτῷ ταῦτα ἥνωνται ἀδιαιρέτως, σύνθετος ἔσται ὁ Θεὸς ἡμῖν; Ὅτι δ' αὖ κατ' αὐτὰ γεγόναμεν, οὐ τοῦ Θεοῦ, ἀλλ' ἑτέρων ποιήματά ἐσμεν; Ἢ που σὺ καὶ τὸν ἐπὶ γῆς ἐκ Θεοῦ ἡμῖν ὑπηργμένον βασιλέα δύο ποιήσεις βασιλέας καὶ ἐκ δύο βασιλειῶν σύνθετον ἀποδείξεις τὸ βασίλειον

---

[636] *Psalmii* 113, 11 şi 134, 6; *Iov* 23, 13.

[637] Sau: unitatea ce respinge orice dublare.

[638] Aceste «împărtăşiri» sînt participatele, cele date spre împărtăşire zidirilor; vezi, mai departe, şi nota 4 de la *Tratate* 1, 1.

[639] A soarelui, adică.

[640] *Despre dumnezeieştile numiri* 5, 8, PG 3, 824 BC.

[641] Adică: există.

[642] Adică: împărtăşindu-se de o anumită existenţă, stând sub semnul oarecărei existenţe.

[643] Adică: există pururea.

[644] Adică: vor exista.

a voit a făcut»[636]. Aşadar, deşi spunem că nu sînt mai multe fiinţe mai-presus-de-fiinţă obârşitoare şi făcătoare ale celor făcute – ci [aceasta este] *unul* cel ce nu suferă nici o îndoire[637] şi care, [rămânând] întru o simplitate în-chip-de-unul şi mai-presus-de-unire unită, aduce [la fiinţă] cele multiforme şi împărţite –, pe acest *unul* îl ştim însă [a fi] atotputernic şi cuprinzător a toate, pe toate având-le în el şi mai înaintea zidirii [lor]. «Că dacă soarele cel unul» – ca să zicem ca marele Dionisie – «de mai înainte a avut în sine [în chip] unitar pricinile multelor împărtăşiri[638], cu mult mai mult se cade a încuviinţa că în Pricina acestuia[639] şi a toate [câte sînt] au pre-subzistat – întru o unire mai-presus-de-fiinţă – paradigmele celor ce sînt»[640].

[27] Este[641], aşadar, şi pururea este şi [în chip] propriu-zis este prehotărâre şi precunoaştere şi pronie şi cele asemenea [acestora], şi [în chip] nedespărţit sînt unite lui Dumnezeu şi sînt altele decât mai-presus-de-fiinţa aceea, iar aceea este mai presus de ele; căci cum [să] nu [fie aşa]? Ce, dar, fiindcă, pe de o parte, acestea – printr-o anume existenţă[642] – sînt pururea[643] şi, pe de alta, şi Dumnezeu este pururea, vor fi[644] [neapărat[645]] doi sau mai mulţi dumnezei? Şi, iarăşi, pentru că acestea Îi sînt unite [în chip] nedespărţit, Dumnezeul nostru va fi [neapărat] compus? Şi, iarăşi, fiindcă noi [nu altcum decât] potrivit acestora[646] am fost făcuţi, [înseamnă că] nu [mai] sîntem făpturile lui Dumnezeu, ci ale altora[647]? Sau cumva tu şi pe împăratul nostru cel de pe pământ îl vei face [a fi] doi împăraţi şi împărăţia i-o vei demonstra a fi compusă din

[645] Sau, neaoş: musai.

[646] Adică: potrivit paradigmelor sau modelelor acestora existente din veşnicie în Dumnezeu.

αὐτῷ καὶ ἄλλον δή τινα καὶ οὐκ αὐτὸν ἐρεῖς τῶν ἀξιωμάτων πρύτανιν, ὅτι ὁρισμῷ καὶ θελήματι οἰκείῳ τὰ σχήματα ποιεῖται καὶ ὁ ὁρισμὸς αὐτῷ γίνεται σεπτὸν ὄνομά τε καὶ ἀξίωμα ἑκάστῳ τῶν ἐν τέλει; Κἀνταῦθα γὰρ μεταξὺ τοῦ ἐπιτάττοντος καὶ τῶν ὑπακουόντων ἐξ ἀνάγκης τοὐπίταγμά ἐστιν. Ἀλλ' οὐδὲ τὸ δύνασθαί τις ἂν εἴποι μὴ προέχειν ἡμῖν τὸν βασιλέα, ἔστι δ' ὅπη καὶ τὸ προειδέναι, εἰ καὶ μὴ ἐπὶ πᾶσι καὶ διὰ παντός. Ἆρα δὲ καὶ τὸν ὁρισμὸν αὐτὸν μετὰ τῆς συγκλήτου θήσομεν, ὅτι μὴ βασιλεία ἐστὶν ὁ ὁρισμός, καθάπερ ἐκεῖ σὺ τὰ μεθεκτὰ κτιστά, ὅτι μὴ ταῦτ' ἐστὶν ἡ οὐσία τοῦ Θεοῦ; Ἐκ τοιούτων ἀρχῶν καὶ οὕτως ὁμολογουμένων διθεΐτας καὶ πολυθεΐτας ἔδειξας τοὺς ὀρθοδόξους.

[647] «ale altora»: ale altor dumnezei sau ale altor realități.
[648] În cazul împărăției pământeşti, adică.
[649] Adică: există, mijloceşte.
[650] Adică: adevărul istoric contrazice ipoteza abia formulată.

două împărăţii şi vei spune că nu el, ci vreun altul este împărţitorul dregătoriilor, [toate acestea] pe motiv că [nu altcum decât] prin hotărârea şi voia sa se alcătuiesc ierarhiile [împărăţiei] şi hotărârea sa se face cinstit nume şi rang fiecăruia din cei ce au dregătorie? Că şi aici[648] între cel ce porunceşte şi cei ce ascultă este[649] – neapărat – porunca. Bine, dar nimeni nu poate spune că împăratul nostru nu are *de mai înainte* puterea [de-a face toate acestea] [650], ba chiar şi faptul de a şti *de mai înainte*[651] [lucrurile], măcar că nu în toate [privinţele] şi nu întotdeauna. Oare şi hotărârea sa i-o vom considera a fi pe treapta [celei a] senatului, [aceasta pe motiv] că nu împărăţie[652] este hotărârea, cum [le faci] tu acolo pe cele împărtăşibile [a fi] zidite, [pe motiv] că acestea nu sînt fiinţa lui Dumnezeu? Din *astfel* de principii[653] – *astfel*, adică, recunoscute[654] – i-ai dovedit [tu] pe ortodocşi [a fi] diteişti şi politeişti.

[651] Adică: preştiinţa.
[652] Aici «împărăţie» poate însemna faptul de a împărăţi.
[653] Adică: din astfel de principii logice eronate.
[654] Tonul este, de bună seamă, ironic.

3, 3

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΚΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ ΕΚ ΤΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΣΥΜΠΕΡΑΣΜΑΤΩΝ

ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ

[1] Ἃ μὲν οὖν προσκρούει τῇ ἀληθείᾳ καὶ τῷ τῆς ἀληθείας Θεῷ διὰ τῶν αὐτῷ δοκούντων ἀνωμολογημένων ἀρχῶν καὶ προτάσεων, ἃς οὗτος κατ' αὐτῆς τῆς ἀληθείας προὐβάλλετο, τοσαῦτά ἐστι καὶ τοιαῦτα καὶ εἰς τοῦθ' ἥκοντα κακοδοξίας· ἃ δ' ἐξ ὧν οἴεται συμπεραίνειν, ἄκων μέν, ἑαυτοῦ δ' ὅμως αὖθις τυγχάνει καταμαρτυρῶν (ἐκείνου γὰρ οὐχ ἑκόντος εἶναι πρὸς τὰς ἡμετέρας ἥκει χεῖρας τὰ ἐκείνου συγγράμματα καὶ τὸν συγγραφέα σφῶν οἷα πονηρὸν ὡσανεὶ προήγγειλεν)· ἃ τοίνυν αὖθις ἐκ τῶν μετὰ χεῖρας ἡμῖν αὐτοῦ συγγραμμάτων ἀναφαίνεται κακῶς φρονῶν, κατ' οὐδὲν ἀπᾴδει τῶν περὶ αὐτοῦ προειρημένων ἐκείνων. Ἔχει γὰρ ὡς συνελόντα φάναι τοσαύτην κακονοίας ὑπερβολήν, ὡς τοὺς μὲν προφήτας ὑπὸ δαιμόνων ἐνεργεῖσθαι δεικνύναι, τοὺς δὲ κατὰ τὸ τοῦ Θεοῦ εὐαγγέλιον πολιτευσαμένους ἁγίους τοῖς αἱρετικοῖς συντετάχθαι, τὴν δὲ προφητῶν καὶ ἀποστόλων καὶ τῶν κατ' αὐτοὺς ἀρετὴν κακίαν εἶναι καὶ οὐκ ἀρετὴν ἀποφαίνεσθαι. Ἆρά τις γέγονεν ἐξ αἰῶνος τοῦ τοιούτους συντιθέντος λόγους κακοδοξότερος; Ἆρά τις δυνήσεται

[655] Vezi *Triade* 2, 1, 2 şi 2, 3, 78, vol. III, GA, p. 275 ş.urm., p. 621 ş.urm.

[656] Ceea ce spune aici sfântul Grigorie e faptul că şi noile scrieri ale lui Varlaam, şi anume *Împotriva Massalienilor*, conglăsuiesc cu cele anterioare, pomenite în a doua *Triadă*.

3, 3

AL ACELUIAŞI, CATALOG AL ABSURDITĂŢILOR CE REIES DIN CONCLUZIILE FILOSOFULUI VARLAAM

CUVÂNTUL AL TREILEA ÎMPOTRIVA CELOR DE AL DOILEA

[1] Cele ce aşadar vin în răspăr cu adevărul şi cu Dumnezeul adevărului prin principiile şi premisele [logice cele 'de toţi] recunoscute' – cum socoteşte acesta, [principii şi premise] pe care acesta le-a stabilit împotriva adevărului însuşi – [acestea] atâtea sînt, şi de felul acestea [sînt], şi la atâta cacodoxie ajung. Iar cele [ce decurg] din cele pe care socoate [el] a le concluziona, iată că [pe acestea] el însuşi le mărturiseşte împotriva [lui însuşi], măcar că nu în chip voit (că, nevoind acela, scrierile lui [tot] au ajuns în mâinile noastre[655] şi rău [a fi] l-au vestit pe scriitorul lor); aşadar, iarăşi, cele pe care – din scrierile lui cele din mâinile noastre – se vădeşte a le cugeta [în chip] rău, [şí acestea] sînt întru totul conglăsuitoare cu acelea mai sus zise despre el[656]. Că – pe scurt vorbind – atâta prisos de duşmănie au [într-însele], încât pe proroci îi arată a sta sub lucrarea dracilor, pe sfinţii ce au petrecut după Evanghelia lui Dumnezeu îi pune în rând cu ereticii, iar virtutea profocilor şi a apostolilor şi a celor de felul lor – răutate o declară a fi, şi nu virtute. Oare a fost – din veac – vreunul mai cacodox decât cel ce alcătuieşte astfel de cuvinte? Oare cine se va putea mânia pe cel ce grăieşte împotrivă celui ce scrie unele ca acestea?

νεμεσῆσαι τῷ πρὸς τὸν τοιαῦτα συγγραφόμενον ἀντιλέγοντι; Ἆρά τινι μετὰ τῶν ἁγίων ἔσται μερίς τὰ τοιαῦτα συγγράμματα στέργοντι καὶ κατηγοροῦντι τῶν μὴ ταῦτα στεργόντων; Τί γὰρ εἰ μὴ φανερῶς ἐστιν ἃ λέγει τούτων, ἀλλ' ἐξ ὧν λέγει συνάγεται; Τοιαῦτα τὰ βαθέα τοῦ σατανᾶ, τὰ τοῦ πονηροῦ μυστήρια, ἃ τοῖς ὑπέχουσιν αὐτῷ τὰ ὦτα ψιθυρίζει, οὐ χαλῶν καὶ ὑπεκλύων τὸν τόνον τῆς φωνῆς, ἀλλὰ τὸ βλαβερὸν ὑποκρύπτων τοῦ νοήματος. Ἡμεῖς δ' ὅπως ἕκαστον τῶν εἰρημένων κατασκευάσαι πειρᾶται, διὰ βραχέων ἐνταῦθα φανερώσομεν, καὶ πρῶτον διὰ τίνων δαιμονιώδεις, φεῦ, τοὺς ἐνθέους προφήτας δείκνυσιν ὁ λόγος αὐτῷ.

[2] Τὰς ὁράσεις τούτων χείρους εἶναι νοήσεως κατασκευάζει καὶ ἀποφαίνεται ὡς φαντασίας οὔσας, εἰ καὶ αἰσθητάς, ἵνα τὴν γνῶσιν ὑπερέχουσαν τούτων ἐπιδείξῃ· εἶτα προϊὼν αὐτός φησι πάλιν «ἐμπαθῆ τυγχάνειν ἢ δαιμονιώδη νοῦν, ὃς ἂν ἐνεργοίη κατὰ χείρω νοήσεως ἐνέργειαν». Ἐπεὶ τοίνυν οἱ προφῆται νῷ ἑώρων – «οὐ γὰρ αἰσθητή τις», φησίν ὁ μέγας Βασίλειος, «ἡ τῶν προφητῶν ὅρασις, ἀλλ' ὑπὸ τοῦ νοῦ κατανοουμένη, τοῦ Θεοῦ φωτίζοντος αὐτόν»· καὶ πάλιν, «προεώρων οἱ προφῆται τὰ μέλλοντα, τυπούμενοι τῷ Πνεύματι τὸ ἡγεμονικόν» –, εἰ γοῦν νῷ ἐν Πνεύματι ἑώρων οἱ προφῆται, «ἐνεργείᾳ δὲ χείρονι νοήσεως», ὡς οὗτος εἶπεν, αὕτη δὲ δαιμονιώδης, ὅταν μὴ περὶ χρήματα καὶ

[657] Altfel zis: 'Căci ce contează că...'.
[658] *Apocalipsa* 2, 24; vezi şi *Epistola a III^a către Achindin* 18, Palama II, GA, p. 318-9.
[659] Adică: însuşirea vătămătoare pe care o are înţelesul zicerii.
[660] E vorba de cele trei lucruri adineauri pomenite, ce reies din concluziile lui Varlaam.
[661] Ale dumnezeieştilor proroci, adică.
[662] Sînt chiar spusele lui Varlaam; vezi *Triade* 2, 3, 58, Palama III, p. 575 ş.u.

Oare cu sfinţii va fi părtaş cela ce îmbrăţişează astfel de scrieri şi îi osândeşte pe cei ce nu le îmbrăţişează pe acestea? Căci însemnătate are [faptul] că[657] nu pe faţă le zice pe unele dintre acestea, ci [numai] reies din cele pe care le concluzionează? – [că] de felul acesta sînt adâncurile satanei[658], tainele celui viclean, pe care le şopteşte celor ce îşi pleacă la el urechile, nu glasul coborându-l şi înmuindu-l, ci tăinuind[u-le] vătămăciunea noimei[659]. Noi, deci, vom dezvălui aici – pe scurt – în ce chip încearcă să ticluiască fiecare [lucru] dintre cele spuse[660] şi mai întâi [vom înfăţişa care sînt zicerile] prin care cuvântul său îi arată pe dumnezeieştii proroci [a fi] – vai! – drăceşti.

[2] [Aşadar,] vederile [adică vedeniile] acestora[661] le ticluieşte a fi mai prejos decât înţelegerea şi le declară [a fi] ca nişte închipuiri [sau imaginaţii][662] – deşi [tot el zice că sînt] simţite [trupeşte] – ca să demonstreze că cunoaşterea [adică gnoza] este mai presus decât acestea; apoi, mergând mai departe, însuşi zice, iarăşi, că «împătimită este – şi demonică – toată mintea care lucrează conform unei lucrări mai prejos decât înţelegerea». Aşadar, fiindcă prorocii [nu altfel decât] *cu mintea* vedeau [ceea ce vedeau] – că «nu simţită [trupeşte]» zice marele Vasile «[era] vederea prorocilor, ci înţeleasă de către minte, Dumnezeu luminându-o pe aceasta»[663]; şi iarăşi: «mai-înainte-vedeau prorócii cele viitoare, întipărită având de Duhul partea stăpânitoare [a sufletului[664]]»[665] – dacă, aşadar, *cu mintea*, în Duhul, vedeau prorócii [cele ce vedeau], dar [vedeau] «printr-o lucrare mai prejos decât înţelegerea» (cum a spus acesta, iar aceasta este demonică), de vreme ce nu lucrează pentru căpătuială şi

[663] *La Isaia* 13, PG 30, 565 C. [664] Adică mintea.
[665] *Ibidem*, proimion, PG 30, 121 A şi 7, PG 30, 452 A.

τὰς κάτω ἡδονὰς καὶ δόξας ἐνεργῇ, ἆρ' οὐ κατὰ τὸν τὰ τοιαῦτα λέγοντα δαιμονιώδης ἡ θεία ὅρασις ἐκείνη; Τί δὲ τὸ θεῖον Πνεῦμα καὶ τὸ φῶς ἐκεῖνο, τὸ τὴν ὅρασιν ταύτην ἐμποιοῦν; Ἀλλὰ τρέποιτο ἐπὶ τὴν κεφαλὴν τὸ τοιοῦτο βλάσφημον τοῦ τοιούτους λόγους συντιθέντος, μᾶλλον δὲ καὶ τῆς αὐτοῦ κεφαλῆς διαπεσὸν ὡς πορρώτατω γένοιτο, πρὸς τὸ μὴ ὄν χωρῆσαν, μετάμελον λαβόντος καὶ μεταμαθόντος τὴν ἀλήθειαν.

[3] Πόθεν δὴ τῷ τηλικούτῳ βόθρῳ περιέπεσεν; ἔροιτό τις ἄν. Ἐπεὶ λόγῳ καὶ φιλοσοφίᾳ φυσικῇ τὰ ὑπὲρ λόγον τε καὶ φύσιν ἐξερεύνησεν, ἀπειθήσας τοῖς πατράσι λέγουσιν «οὐ δυνατὸν ἑρμηνευθῆναι λόγῳ τὸν τρόπον τῆς προφητικῆς ὄψεως, ἀλλ' ἐκεῖνος μόνον οἶδε σαφῶς, ὁ τῇ πείρᾳ μαθών· εἰ γὰρ φύσεως ἔργα καὶ πάθη πολλάκις οὐδεὶς ἂν παραστήσειε λόγος, πολλῷ μᾶλλον τῆς τοῦ Πνεύματος ἐνεργείας», ὃ καὶ τοῖς μετὰ Χριστὸν ἁγίοις ἴδοι τις ἂν πολλαχοῦ μαρτυρούμενον. Τοῦτο τοίνυν τούτων οὕτω λεγόντων, αὐτός φησι Μασσαλιανοὺς εἶναι τοὺς πείρᾳ δεῖν γινώσκειν ἢ πείρᾳ ἐγνωκέναι τὰ τοιαῦτα λέγοντας. Οὐκοῦν αὐτὸς ὡς ἐκ γεωμετρικοῦ πορίσματος ἀναφαίνεται, πεῖραν μυστηρίου θείου ἢ Πνεύματος ἁγίου ἐνεργείας οὐδ' ἡστινοσοῦν λαβών· οὐ γὰρ ἂν Μασσαλιανὸν ἑαυτὸν ἀνεκήρυττεν. Εἰ γοῦν ὁ πεῖρᾳ μαθὼν μόνος οἶδε τὰς ἐνεργείας τοῦ Πνεύματος, αὐτὸς δὲ πείρᾳ οὐκ ἔγνωκε καὶ τοὺς πείρᾳ γνόντας οὐδαμῶς

[666] Adică: naturală.

[667] Adică: mai presus de raţiune.

[668] Altfel zis: a interpreta prin raţiune.

[669] Sau: modul [funcţionării] văzului profetic.

[670] Adică din propria experienţă, făcând el însuşi experienţa proroceştii vederi.

[671] Sau raţiunea.

[pentru] cele de jos plăceri şi slăvi/socotinţe, [atunci] oare nu [reiese că] demonică este – după cel ce spune unele ca acestea – dumnezeiască vederea aceea [a prorocilor]? Şi [atunci] ce e dumnezeiescul Duh şi lumina aceea care săvârşesc [în proroci] vederea aceasta? Ci asupra capului celui ce alcătuieşte asemenea vorbe cadă hula aceasta, sau – mai bine – căzând [ea] asupra capului acestuia, departe cu totul facă-se [ea apoi], ducându-se în nefiinţă, răzgândindu-se acesta şi îmbrăţişând [el] adevărul.

[3] Dar – ar [putea] zice cineva – cum de a căzut într-o aşa de mare prăpastie? Pentru că [nu altcum decât] cu raţiunea şi cu filosofia cea firească[666] [s-a apucat el şi] a cercetat cele mai presus de cuvânt[667] şi de fire, neascultând de Părinţii ce spun că «nu este cu putinţă a tâlcui prin cuvânt[668] felul vederii proroceşti[669], ci doar acela [îl] ştie limpede [pe acesta], [şi anume] cel ce [îl] învaţă din [propria] cercare[670]; că dacă, adesea, [nici măcar] lucruri – şi patimi – proprii firii nu le poate înfăţişa cuvântul[671], cu atât mai mult pe cele proprii lucrării Duhului»[672], [lucru] pe care se poate vedea că şi sfinţii cei de după Hristos în multe rânduri l-au mărturisit. Lucrul acesta spunându-l deci aceştia, el zice că [– dimpotrivă –] Massalieni sînt cei ce spun că [nu altcum decât] prin cercare trebuie cunoscute – sau că prin cercare au cunoscut – unele ca acestea. Aşadar, acesta se vădeşte – prin [simplă] demonstraţie matematică – că nu a făcut câtuşi de puţin experienţa vreunei taine dumnezeieşti sau a vreunei lucrări a Duhului Sfânt; că doar nu s-ar vesti pe sine însuşi [a fi] Massalian. Deci, dacă doar cel ce învaţă prin cercare [doar el] ştie lucrările Duhului, iar acesta[673] nu [le-]a cunoscut

[672] Ioan Gură-de-aur, *La Isaia* 1, PG 56, 14.
[673] Varlaam, adică.

παραδέχεται, τίς ἔτ' ἀμφιγνοήσει μὴ ψευδολογίαν εἶναι πᾶσαν τὴν περὶ τῆς θεοποιοῦ τοῦ Πνεύματος ἐνεργείας αὐτῷ γεγενημένην ἀδολεσχίαν, καὶ ταῦτα κατὰ τῶν ἐν πείρᾳ ταύτης γεγονότων ἐξενηνεγμένην αὐτῷ, μηδαμῶς εἰδότι μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται; «Γλυκύτητα γὰρ μέλιτος τίς ἀναγγελεῖ τοῖς μὴ γευσαμένοις;», ἡ παροιμία φησίν· οἱ δὲ μὴ γευσάμενοι, πῶς ἀναγγελοῦσιν; εἰπέ μοι· εἰ δὲ καὶ τοῖς γευσαμένοις ἀντιλέγοιεν, ἆρ' οὐ μετὰ τοῦ ψευδόμενοι δῆλοι πεφηνέναι καὶ γέλωτα ὀφλήσουσιν ἔσχατον; Πολλῷ μέντ' ἂν εἴη ψευδηγόρος καὶ καταγέλαστος μᾶλλον ὁ περὶ τὰς ὑπερφυεῖς ἐνεργείας τοῦ Πνεύματος τοιαῦτα τερατευόμενος καὶ κατὰ τὸν ἀπόστολον «ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ». Ἤρκει μὲν οὖν τουτὶ μόνον, οὐ μόνον ψευδογράφον αὐτὸν ἀπελέγξαι, πρὸς δὲ τούτῳ καὶ τοῖς αἱρετικοῖς τοὺς ἁγίους συντάττοντα (καὶ γὰρ ἐκείνων ἐστὶ λόγος «μόνον εἰδέναι σαφῶς τὸν πείρᾳ μαθόντα» τὰς ἐνεργείας τοῦ Πνεύματος, ὁ δὲ τοὺς τοῦτο λέγοντας αἱρετικοὺς εἶναι διισχυρίζεται)· τουτὶ μὲν οὖν ἤρκει καὶ τῶν μετὰ Χριστὸν ἁγίων κατήγορον αὐτὸν ἀπελέγξαι· τῷ δὲ οὐκ ἀπέχρησεν, ἀλλὰ καὶ δευτέρᾳ καὶ τρίτῃ καὶ ἔτι πλείοσι κατ' αὐτῶν, μᾶλλον δὲ καθ' ἑαυτοῦ, μεθόδοις ἐχρήσατο.

[4] Τῶν γὰρ ἁγίων ἐν τοῖς καθ' ἑαυτοὺς συγγράμμασιν ἔστιν οὗ πρὸς ἀλλήλους δοκούντων διαφωνεῖν, αὐτὸς ποτὲ μὲν τούτου, ποτὲ δὲ ἐκείνου ῥήσει προσθέμενος, δι' ἐκείνης τοῖς ἄλλοις ἀναιδῶς ἐπιτίθεται

[674] Adică: nu îi acceptă.

[675] *I Timotei* 1, 7; expresia e folosită la singular şi de Grigorie al Nyssei (*Contra lui Eunomiu* 7, 5, *PG* 45, 765A).

[676] Aici «călcând» are şi înţelesul de a lua în stăpânire, a-şi împropria.

prin cercare şi nicidecum nu îi primeşte[674] pe cei ce [le-] au cunoscut, cine mai poate pune la îndoială că [nu altceva decât] grăire mincinoasă îi e toată sporovăiala despre îndumnezeitoarea lucrare a Duhului, când el a adus-o pe aceasta [tocmai] asupra celor ce au avut cercarea [lucrării] aceleia, nicidecum ştiind [el] 'nici ce zice, nici despre care [lucruri] încredinţează'[675]? Că, [după cum] spune zicala, «dulceaţa mierii cine o va vesti celor ce nu au gustat-o?»; iar de [nici ei înşişi] nu au gustat-o – spune-mi – cum o vor vesti?; iar de vor [mai] şí grăi-împotrivă celor ce au gustat-o, [atunci], pe lângă faptul că se fac vădiţi tuturora că mint, oare nu se vor face şi de tot râsul? Aşadar, cu mult mai mult va fi vădit [de] mincinos şi va fi de tot râsul cel care îndrugă astfel de lucruri despre lucrările cele mai-presus-de-fire ale Duhului, «călcând» – după [cum zice] Apostolul – «în cele ce nu a văzut[676], zadarnic îngâmfându-l mintea cărnii lui»[677]. De ajuns era deci lucrul acesta nu doar a-l vădi că scrie minciuni, ci – pe lângă aceasta – şi că îi pune pe sfinţi în rândul ereticilor (că [nu al altora decât] al acelora este cuvântul [cum că] 'doar cine a învăţat prin cercare, [doar acela] ştie limpede lucrările Duhului', iar acesta susţine că eretici sînt cei ce spun aceasta); de ajuns era, deci, lucrul acesta şi a-l da în vileag de pârâtor al sfinţilor; dar lui nu i-a fost de ajuns, ci şi o a doua şi a treia şi încă multe alte metode a folosit împotriva lor – sau, mai bine zis, împotriva luişi.

[4] Că părând sfinţii – în unele locuri ale scrierilor lor – a nu conglăsui întreolaltă, acesta[678] aducând de faţă când zicerea unuia, când pe a altuia, prin [zicerea] aceea se năpusteşte cu neruşinare asupra celorlalţi şi ni-i face

[677] *Coloseni* 2, 18.
[678] Varlaam, adică.

καὶ ἐκκηρύκτους καὶ ἀποβλήτους ποιεῖται παντάπασιν ὡς καὶ ἀφορισμοῖς ὑποβάλλειν καὶ ἀναθέμασιν. Οὕτω τὸν Νύσσης θεῖον Γρηγόριον μήτ' ἐκτὸς μήτ' ἐντὸς εἶναι τοῦ σώματος λέγοντα τὸν νοῦν διὰ τὸ ἀσώματον, τοῖς ἄλλοις ἐπεστράτευσεν ἁγίοις, ὅσοι ἐν τῇ καρδίᾳ τὸν νοῦν εἰρήκασι καὶ ὡς ἀντιτεταγμένους τῇ ἀληθείᾳ τοῖς αἱρετικοῖς εὐθύς ἐνηρίθμησεν. Ἡμεῖς δ' αὐτοὺς συμφώνους ἀλλήλοις κἀν τούτῳ, καὶ ἡμᾶς αὐτοὺς αὐτοῖς, ἔν τε τῷ *Ἁγιορειτικῷ* κατὰ τῶν φρονούντων τὰ τοιαῦτα *Τόμῳ* κἀν τῷ *Περὶ Προσευχῆς* δευτέρῳ λόγῳ τρανῶς ἀπεδείξαμεν. Ἀλλ' αὖθις αὐτὸν τὸν Νύσσης ὅπως τοῖς αἱρετικοῖς συνέταξεν ἄκουσον· εἰπόντα γὰρ περὶ τοῦ πρωτομάρτυρος Στεφάνου ὡς «οὐκ ἐν τῇ ἀνθρωπίνῃ φύσει τε καὶ δυνάμει μένων τὸ Θεῖον βλέπει, ἀλλὰ πρὸς τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἀνακραθείς, ὅτι τῷ ὁμοίῳ καθορᾶσθαι τὰ ὅμοια παρὰ τῆς Γραφῆς μεμαρτύρηται· εἰ γὰρ ἀνθρωπίνῃ φύσει ἡ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ δόξα χωρητὴ κατέστη, ψευδὴς ὁ ἀχώρητον ἀποφηνάμενος εἶναι τὸ θέαμα· ἀλλὰ μὴν οὐδὲ ἐκεῖνον ψεύδεσθαι καὶ τὴν ἱστορίαν ἀληθεύειν ἐπάναγκες»· ταῦτα τοῦτον ἐν τῷ πρὸς τὸν θεῖον Στέφανον ἐγκωμίῳ σαφῶς εἰπόντα, πολυτρόπως τοῖς αἱρετικοῖς ἐγκρίνει τὸν ἅγιον διά τε τὴν χάριν καὶ τὴν ἀνάκρασιν (οὐ γὰρ ἀσφαλῶς συνορᾷ τῶν λεγομένων τὴν δύναμιν), μάλιστα δὲ πάντων ἐξοστρακίζει τοῦ χοροῦ τῶν ὀρθοδόξων τὸν ταῦτ' εἰπόντα,

---

[679] E vorba, desigur, de Varlaam.

[680] Vezi *Triade* 2, 2, 27, unde se arată cum Varlaam îl opune pe sfântul Grigorie al Nyssei sfântului Macarie cel Mare, GA III, p. 428.

[681] Se vede de aici că autorul *Tomos*-ului este chiar sfântul Grigorie; vezi şi *Epistola a III^a^ către Achindin* 19.

[682] Dintr-a doua *Triadă*.

[683] Vezi *Triade* 2, 2, 27, Palama III, GA, p. 428.

[684] Grigorie al Nyssei, adică.

proscrişi şi cu totul de-lepădat, spre a-i supune [noi] şi afurisaniei şi anatemei. Astfel, pe al Nyssei dumnezeiesc Grigorie, pe cel ce zice că mintea nu e nici afară de trup, dar nici în trup ([aceasta] datorită netrupescului [ei]), l-a oştit asupra celorlalţi sfinţi, câţi spun că mintea este în inimă, pe care i-a şi pus[679] numaidecât în rândul ereticilor, ca pe nişte [– chipurile –] potrivnici ai adevărului[680]. Noi, însă, şí în privinţa aceasta i-am arătat – limpede – pe aceştia [a fi] conglăsuitori întreolaltă (şi pe noi înşine [conglăsuitori] cu aceştia) în *Tomul Aghioritic*, cel [alcătuit] împotriva celor ce cugetă unele ca acestea[681], [după cum] şi în al doilea cuvânt[682] [cel] *Despre rugăciune*[683]. Dar ascultă – iarăşi – cum şi pe însuşi [Grigorie] al Nyssei l-a pus în rândul ereticilor; că zicând [el[684]] despre întâiul-mucenic Ştefan cum [că] «nu rămânând în omeneasca fire şi putere[685] vede Dumnezeiescul, ci amestecându-se cu harul sfântului Duh, că mărturisit este [aici] de Scriptură [cum că doar] *celui asemenea* sînt [cu putinţă a fi] văzute *cele asemenea*[686]; că dacă slava Tatălui şi a Fiului s-ar fi făcut [atunci] încăpută omeneştii firi şi puteri, mincinos e cel ce neîncăpută a zis [a fi] vederea [sau priveliştea aceea]; dar neapărat că nici acela nu minte şi şí istoria este adevărată»[687], acestea deci zicându-le acesta în encomionul către dumnezeiescul Ştefan, în multe chipuri îl osândeşte pe sfântul în rândul ereticilor, datorită harului şi amestecării [de care vorbeşte] (că, de bună seamă, nu vede înţelesul celor spuse [de acela]) şi îl scoate – pe cel ce a spus acestea, mai mult decât pe oricare altul – afară din ceata ortodocşilor, în chip mincinos pârându-l [a fi]

[685] Adică: în hotarele firii omeneşti.

[686] Vezi şi *I Ioan* 3, 2. Vezi, de asemenea, Platon, *Banchetul* 195 B, Aristotel, *Etica Nicomahică* 8, 1; 9, 3 ş.a.

[687] *I La Ştefan*, PG 46, 717 B; vezi şi *Triade* 2, 3, 27, Palama III, GA, p. 498.

Μασσαλιανὸν καὶ Βλαχερνίτην ἐπὶ διαβολῇ προσαγορεύσας διὰ τὴν ὅρασιν, ἀντιτάξας αὐτῷ τοὺς ἀόρατον εἶναι τὸν Θεὸν λέγοντας.

[5] «Τί δέ», φησίν, «ὅτι ὑπὲρ ἄνθρωπον ὁ ἄνθρωπος γεγονώς, ὁρᾷ τὸν Θεόν; Ἄγγελος γὰρ γένοιτ' ἄν. Ἀλλ' ὁ κράτιστος τῶν παρ' ἡμῖν θεολόγων ἀποδεῖ τοῦ τῶν ἀγγέλων ἐσχάτου· εἰ δὲ καὶ ἄγγελον γενέσθαι δοίημεν», φησίν, «ἀλλ' οὐδ' ἄγγελοι τὴν οὐσίαν ὁρῶσι τοῦ Θεοῦ». Πρὸς ὃν ἄν τις φαίη δικαίως, 'ἀγγέλων πονηρῶν παίδευμα· καὶ γὰρ ἐκεῖθεν μυηθεὶς τῶν ἁγίων κατήγορος γέγονας'. Ἀλλ' οὐδ' ὅταν ὁ βασιλεύς ἐθελήσῃ τῆς κατὰ πρόσωπον ὁμιλίας ἀξιῶσαι τὸν στρατιώτην, στρατηγὸς ἂν εἴη δι' αὐτὸ πάραυτα, οὐδ' ὅτι ἐγγύτερος τότε παρίσταται, παρὰ τοῦτο τὸ τοῦ ἀρχισρατήγου σχῆμα παρήνεγκεν. «Ἀλλ' οὐκ ἔνι», φησίν, «εἰ μὴ δι' ἀγγέλου τὸν Θεὸν ἀνθρώπῳ συντυχεῖν· δι' ἀγέλλων γὰρ ἱεραρχούμεθα». Τί ποιεῖς, ἄνθρωπε; Ἀνάγκας ἐπιτίθῃς τῷ καὶ τῶν ἀναγκῶν δεσπότῃ, τῷ καὶ ταύτας ἡνίκ' ἂν ἐθέλῃ λύοντι, ἐνίοτε δὲ καὶ μετασευάζοντι τελέως; Εἰπὲ δή μοι· τίς ἦν ἀγγέλων ὁ τῷ Μωϋσῇ εἰπών «Ἐγώ εἰμι ὁ ὤν, ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ», εἰ μὴ ὁ τοῦ Θεοῦ Υἱός, ὡς καὶ Βασίλειος ὁ μέγας λέγει; Τί δέ ἐστι τὸ ἐν τῇ τοῦ Ἰσραὴλ Ἐξόδῳ γεγραμμένον ὅτι «ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον»; Τῷ δὲ Ἀβραὰμ ὁ ὁμιλῶν, ἡνίκα «ὤμοσε καθ' ἑαυτοῦ», εἴγε ἄγγελος ὑπῆρχε, πῶς ὁ

---

[688] Adică: cei de pe tărâmul oamenilor.

[689] Adică: general.

[690] Adică: mareşal.

[691] Adică: Celui ce şí peste necesităţi e stăpân.

[692] Vezi *Triade* 2, 3, 29-30, GA, p. 502-508.

[693] *Ieşirea* 3, 14-15.

[694] Întrucât Dumnezeu-Fiul este 'Îngerul (adică Crainicul hotărârii) sfatului celui mare', e socotit aici – de sfântul Grigorie – între îngeri, adică între trimişii lui Dumnezeu.

'Massalian' şi 'Vlahernit', datorită vederii [de care vorbeşte el], aducându-i împotriva lui pe [sfinţii] cei ce spun că Dumnezeu este nevăzut.

[5] «Cum adică», zice, «'ajungând omul [a fi] mai presus de om Îl vede pe Dumnezeu'? Păi [atunci] s-ar face înger; dar [ştim că] cel mai puternic dintre teologii cei de la noi[688] e [cu mult] mai prejos decât cel mai de pe urmă dintre îngeri. Dar şi de-ar fi trebuit să ne facem îngeri», zice, «nici îngerii nu văd fiinţa lui Dumnezeu»; căruia pe drept i s-ar putea zice: 'o, şcolitule al îngerilor celor vicleni – că [doar] de acolo te-ai deprins a fi pârâtor al îngerilor celor sfinţi –, dar de-ar voí împăratul să îl învrednicească pe un ostaş [de rând] de vorbirea [faţă] către faţă, [ostaşul] nu se face – datorită lucrului acestuia – voievod[689], nici faptul de a-i sta atunci mai aproape nu îi aduce dregătoria de mai-mare-voievod[690]'. «Dar», zice, «numai prin [mijlocire de] înger îi este cu putinţă omului a se întâlni cu Dumnezeu». Ce faci, omule, impui necesităţi Stăpânului şí peste necesităţi[691], Celui ce – [atunci] când voieşte – le şi dezleagă pe acestea, ba uneori chiar le preface cu desăvârşire [în altceva][692]? Ia spune-mi: care dintre îngeri era Cel ce i-a zis lui Moisí «Eu sînt Cel ce sînt, Dumnezeul lui Avraam şi Isaac şi Iacóv»[693], dacă nu Fiul lui Dumnezeu[694], după cum şi marele Vasile spune[695]? Şi ce [mai] e [cu] ceea ce s-a scris în *Ieşirea* lui Israil, [cum] că «a grăit Dumnezeu către Moisí faţă către faţă, cum ar grăi cineva către prietenul său»[696]? Şi dacă înger era Cel ce vorbea cu Avraam – când S-a jurat pe Sine Însuşi[697] –, [atunci] cum [de mai] zice Apostolul cum [că] «nu avea pe nimeni mai mare [decât El],

[695] Vezi *Contra lui Eunomiu* 2, 18, PG 29, 609 B.
[696] *Ieşirea* 33, 11.
[697] *Facerea* 22, 16.

ἀπόστολός φησιν ὡς «οὐκ εἶχε κατ' οὐδενὸς μείζονος ὀμόσαι»; Εἰ δ' ἐπὶ τῆς νομικῆς σκιᾶς αὐτὸς ὁ Θεὸς εὐδόκησεν ὁμιλῆσαι τοῖς πατράσι, πῶς, τῆς ἀληθείας ἐκφανείσης καὶ τοῦ τῆς χάριτος νόμου τρανωθέντος, καθ' ὃν οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς καὶ αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ πᾶσαν τὴν ἀλήθειαν ἐδίδαξεν ἡμᾶς, οὐκ ἐμφανισθήσεται δι' ἑαυτοῦ τοῖς ἁγίοις ὁ Θεός; Ἢ γενέσθαι μὲν ἄνθρωπος δι' ἡμᾶς οὐκ ἀπηξίωσε καὶ σταυρὸν ὑπέστη καὶ θάνατον ὑπὲρ ἡμῶν, καὶ ταῦτα ἀσεβῶν ὄντων ἔτι κατὰ τὸν ἀπόστολον, ἀνθρώπῳ δὲ ἀμέσως ἀπαξιώσει καὶ ἐνοικῆσαι καὶ ἐμφανισθῆναι καὶ ὁμιλῆσαι, καὶ τοῦτ' οὐκ εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ἡγιασμένῳ καὶ διὰ τῆς τῶν θείων ἐντολῶν τηρήσεως προκαθηραμένῳ σῶμά τε καὶ νοῦν, καὶ τοῦ πάντα δυναμένου Πνεύματος ὄχημα καὶ ζεῦγος εὐφυὲς ταῦτ' ἐξειργασμένῳ; Τοῦτο δὴ καὶ αὐτὸς ὁ Νύσσης θεῖος Γρηγόριος ἀποδεικνύς, μετὰ τὸ μνησθῆναι τῆς οὐρανίου καὶ ὑπερφυοῦς ἐκείνης τοῦ Στεφάνου θεωρίας, «ἆρα», φησίν, «ἀνθρωπίνης φύσεως ἦν τὸ κατόρθωμα; Ἀρά τινος τῶν ἀγγέλων πρὸς τὸ ὕψος ἐκεῖνο τὴν κάτω κειμένην φύσιν ἀναβιβάσαντος; Οὐκ ἔστι ταῦτα· οὐ γὰρ οὕτω γέγραπται, ὅτι Στέφανος τῇ δυνάμει πολύς ἢ τῆς ἀγγελικῆς βοηθείας πλήρης γενόμενος εἶδεν ἃ εἶδεν, ἀλλ' ὅτι Στέφανος πλήρης ὢν Πνεύματος ἁγίου εἶδε τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν μονογενῆ τοῦ Θεοῦ. Οὐ γὰρ ἔστι, καθάπερ ὁ προφήτης εἶπε, τὸ φῶς ὀφθῆναι μὴ ἐν φωτὶ καθορώμενον». Ὅρασιν οὖν ἐνταῦθ' εἶπε χωρητὴν διὰ Πνεύματος, ἀλλ' οὐχὶ γνῶσιν, καὶ τὸ 'οὐδεὶς

---

[698] *Evrei* 6, 13. [699] *Isaia* 63, 9.
[700] *Ioan* 16, 13. [701] *Romani* 5, 6.
[702] Acest «pereche» înseamnă pereche de animale de tracțiune.
[703] *Fapte* 7, 55-56. [704] *Psalmii* 35, 10.
[705] *I La Ștefan*, PG 46, 716 D–717 A; vezi și *Triade* 2, 3, 27, GA, p. 498 ș.urm.

pe care să Se jure»[698]? Şi dacă în umbra [vremii] legii Însuşi Dumnezeu a binevoit să le vorbească Părinţilor, cum [atunci] – arătându-se adevărul şi limpede strălucind legea harului, după care nu înger, nici om, ci Însuşi Domnul ne-a mântuit pe noi[699] şi Însuşi Duhul ne-a învăţat pe noi tot adevărul[700] – cum [atunci] Dumnezeu să nu Se arate pe Sine sfinţilor prin Sine Însuşi? Sau [vrei să spui că] nu S-a dat înapoi a Se face om – pentru noi – şi Cruce a răbdat pentru noi şi moarte (şi acestea [pe când] încă necinstitori [de Dumnezeu] eram noi, după [cum zice] Apostolul[701]), dar Se va da înapoi a locui [în chip] nemijlocit în om şi [nemijlocit] a i Se arăta şi a-i vorbi, şi aceasta nu doar celui [– simplu –] bine-cinstitor [de Dumnezeu], ci şi celui [ce s-a] sfinţit şi, prin ţinerea dumnezeieştilor porunci, de mai înainte şi-a curăţit trupul şi mintea şi [de mai înainte] le-a făcut pe acestea car al Duhului Puternic-a-toate şi pereche potrivită[702]? Lucrul acesta şi dumnezeiescul Grigorie al Nyssei însuşi dovedindu-l, după ce aminteşte de cerească şi mai-presus-de-fire vederea aceea a lui Ştefan, «oare» – zice – «a firii omeneşti era [o] ispravă [ca aceasta]?; oare a vreunuia dintre îngeri, care să fi ridicat la acea înălţime firea omenească cea jos zăcătoare? Nicidecum; că nu aşa s-a scris, cum că Ştefan mult [fiind el] întru putere ori plin făcându-se de ajutor îngeresc a văzut cele ce a văzut, ci că Ştefan, *plin de Duh sfânt*, a văzut slava lui Dumnezeu şi pe Unul-Născutul lui Dumnezeu[703]; că nu e [cu putinţă] – după cum a zis proorocul[704] – a fi văzută lumina de nu e privită *în[tru] lumină*»[705]. Aşadar *vederea* [lui Dumnezeu] o zice aici [a fi cu putinţă] de încăput [omului] prin Duhul, *nu cunoaşterea* [Lui, adică gnoza], şi, înţelesul acesta dându-i-l lui

[706] *Ioan* 1, 18.

ἑώρακε Θεόν' ἐπὶ ταύτης τῆς σημασίας ἐκλαβόμενος καὶ διαπορητικῶς ἀντιθεὶς τῇ πνευματικῇ τοῦ Στεφάνου θεωρίᾳ, τὴν λύσιν ἐπήνεγκε κάλλιστά τε καὶ εὐσεβέστατα. Πρὸς δὲ τούτοις οὐδὲ τὴν οὐσίαν εἶπε χωρητὴν ἢ ὁρατήν, ἀλλὰ τὴν δόξαν τοῦ Πατρὸς καὶ τὴν χάριν τοῦ Πνεύματος.

[6] «Ἀλλ' ἐγώ», φησί, «τὴν χάριν καὶ τὴν δόξαν ταύτην ὑπερφυῆ καὶ ὁμοίαν ἀκούων τῷ Θεῷ, 'τῷ γὰρ ὁμοίῳ', φησί, 'καθορᾶται τὰ ὅμοια', διὸ καί, ἄκτιστον οὖσαν καὶ ἄναρχον, οὐσίαν ταύτην εἶναι λέγω τοῦ Θεοῦ». Καὶ οὐ δύναται εἶναι, ὦ τῶν ἁγίων ἀντικείμενε θεολόγε – λήσεις γὰρ εὖ ἴσθι τοὺς εἰδότας οὐδαμῶς, εἰ καὶ τὰ ὀνόματα κρύπτων τὴν ἁγίαν τῶν ἁγίων διάνοιαν ὡς ἀλλοτριόφρονός τινος προτείνεις περιέργως –, οὐ δύναται τοίνυν ἐνέργεια Θεοῦ ὑπερφυής, ἄναρχός τε καὶ ἄκτιστος ὑπάρχειν καὶ διὰ τὸ τὸν Θεὸν ὅλον φανεροῦν δι' ἑαυτῆς τοῖς ὑπερφυῶς ἐν Πνεύματι ὁρῶσιν ὁμοία τῷ Θεῷ; «Ἄπαγε», φησίν· «ἓν γὰρ ἄκτιστόν τε καὶ ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ· πᾶσα δὲ ἐνέργεια αὐτοῦ κτιστή». Τῆς ἀσεβείας· ἢ γὰρ οὐκ ἔχει φυσικὰς καὶ οὐσιώδεις ἐνεργείας ὁ Θεὸς καὶ ἄθεός ἐστιν ὁ τοῦτο λέγων – τοῦτο γὰρ ἄντικρυς, φησίν, ὅτι οὐκ ἔστι Θεός· οἱ γὰρ ἅγιοι πατέρες φανερῶς λέγουσι, κατὰ τὸν θεῖον Μάξιμον, μήτε εἶναι μήτε γινώσκεσθαι χωρὶς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τὴν οἱανδήποτε φύσιν), ἢ οὖν οὐκ εἰσὶν οὐσιώδεις καὶ φυσικαὶ θεῖαι ἐρνέργεαι καὶ οὐδὲ Θεὸς ἔστι λοιπόν, ἢ εἴπερ εἰσὶν ἐνέργειαι θεῖαι, φυσικαὶ καὶ οὐσιώδεις,

[707] De la Grigorie al Nyssei, *I La Ştefan*, PG 46, 717 B.
[708] «ea»: slava, cea totuna cu harul.
[709] Adică: numele celor ce au scris lucrul cu pricina.
[710] Adică: proprii firii şi fiinţei lui.
[711] Adică: cum că nu există.

'nimeni nu L-a văzut pe Dumnezeu'[706] şi – cu [retorică] nedumerire – opunându-l vederii Duhovniceşti a lui Ştefan, în chip preabun şi preacinsititor [de Dumnezeu] a dat dezlegarea [nedumeririi]. Pe lângă acestea, nici nu a spus [că] fiinţa [este] cu putinţă de încăput [firii omului] ori de văzut [acestuia], ci slava Tatălui şi harul Duhului.

[6] «Dar eu», zice, «auzind [pe unii] că harul şi slava aceasta sînt mai-presus-de-fire şi asemenea lui Dumnezeu (că 'celui asemenea', zice, 'sînt [cu putinţă a fi] văzute cele asemenea'[707]), [fapt] pentru care, nezidită fiind [ea[708]] şi fără-de-început, spun că aceasta e [totuna cu] fiinţa lui Dumnezeu». Şi nu poate fi, o, teologule potrivnice al sfinţilor (că nicidecum – s-o ştii bine – nu-i vei putea păcăli pe ştiutorii [lucrurilor acestora], măcar că tăinuind numele[709], sfânta a sfinţilor cugetare o pui de faţă – [în chip] bine ticluit – ca [fiind] a unui cugetător de lucruri străine [Bisericii]), aşadar, nu poate lucrarea lui Dumnezeu să fie mai-presus-de-fire, fără-de-început şi nezidită şi – de vreme ce, prin ea însăşi, pe Dumnezeu întreg Îl arată celor ce văd în Duhul – asemenea lui Dumnezeu? «Ferească [Sfântul]!», zice; «că un singur lucru e nezidit şi fără-de-început, [şi anume] fiinţa lui Dumnezeu, iar toată lucrarea ei e zidită». Ce necinstire [de Dumnezeu]!; că *ori* Dumnezeu nu are lucrări fireşti şi fiinţiale[710], iar cel ce zice aceasta ateu este (pentru că zice de-a dreptul că nu este Dumnezeu[711]; că sfinţii Părinţi spun limpede, după dumnezeiescul Maxim[712], că nici o fire nu există – nici nu este cunoscută – fără lucrarea ei fiinţială); aşadar *ori* nu există dumnezeieşti lucrări fiinţiale şi fireşti şi, prin urmare, nici Dumnezeu nu există, *ori*, dacă există

[712] Adică: potrivit dumnezeiescului Maxim; *Către Marin*, PG 91, 96 B (*Epistola către Nicandru*), 200 C.

κτισταὶ δέ εἰσιν αὗται, κτιστὴ ἔσται καὶ ἡ ταύτας ἔχουσα οὐσία τοῦ Θεοῦ· ἧς γὰρ οὐσίας τε καὶ φύσεως αἱ φυσικαὶ καὶ οὐσιώδεις ἐνέργειαι κτισταί, καὶ αὐτὴ ἡ ταύτας ἔχουσα φύσις καὶ οὐσία κτιστὴ καὶ ἔστι καὶ γινώσκεται.

θεοῦ ἄσχετοι πρόοδοι καὶ μεταδόσεις κτίσματα, τῆς ἀσχέτου μεταδόσεως φυσικῶς ἐνούσης τῷ μεταδιδόντι, καθάπερ ἐπὶ τοῦ φωτὸς ὁρῶμεν; Προϊὼν δ' ὁ μέγας καὶ ἀπαριθμεῖται τὰς μεταδόσεις ταύτας κατὰ μέρος. Εἰπὼν γὰρ «αἱ ἄσχετοι μεταδόσεις», ἐφεξῆς φησιν· «αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις, αἱ ἄλλαι δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος, καθ' ἃς ἐκ τῶν μετοχῶν καὶ τῶν μετεχόντων ὑμνεῖται τὰ ἀμεθέκτως μετεχόμενα». Τίνα ταῦτα; Ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

[12] Ὑμνεῖται τοίνυν ταῦτα παρὰ τῶν θεολόγων ἐκ τῶν μετεχόντων, τουτέστι τῶν μετοχῇ τὸ εἶναι ἐχόντων, δηλονότι τῶν κτιστῶν. Ἀλλὰ καὶ ἐκ τῶν μετοχῶν, δηλαδὴ τῶν μεταδόσεων, αἳ οὐ μετοχῇ τὸ εἶναι ἔχουσιν· οὐ γὰρ ἂν εἶεν μετοχαί, ἀλλὰ μετέχοντα. Εἰ δὲ μὴ μετοχῇ τὸ εἶναι ἔχουσιν, οὐδὲ κτισταί· μὴ οὖσαι δὲ κτισταὶ οὐδὲ τοῦ θεοῦ εἰσιν ἐκτός, ἀλλ' ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ εἰσι, καθὰ προϊὼν καὶ ὁ μέγας οὗτος δείκνυσιν. Οὐ μόνον ἄρα κατ' οὐσίαν καὶ τὴν τῶν τριῶν ὑποστάσεων διάκρισιν ἄκτιστόν ἐστι τὸ θεῖον, ἀλλὰ καὶ κατὰ τὴν τῶν προόδων τούτων καὶ ἐνεργειῶν διάκρισιν, αἳ μετοχαί εἰσι τῶν ὄντων, ἀλλ' οὐ μετοχῇ τὸ εἶναι ἔχουσιν· εἰ γὰρ μετοχῇ ἡ μετοχὴ τὸ εἶναι ἔχει, καὶ αὕτη πάλιν ἑτέρᾳ τοῦθ' ἕξει μετοχῇ, καὶ αὕτη πάλιν ἑτέρᾳ καὶ τοῦτο ἐπ' ἄπειρον.

[13] Ἔτι τὸ μετεχόμενον τῶν μετεχόντων ἀναγκαῖον προϋπάρχειν. Αἱ δὲ μετοχαὶ μετέχονται παρὰ τῶν

[87] Adică natural, după fire.
[88] «după care»: [dări] din unghiul [şi în termenii] cărora.
[89] «cele ce se împărtăşesc»: făpturile, zidirile, cele ce sînt.
[90] «cele împărtăşite»: cele date spre împărtăşire.
[91] *Despre dumnezeieştile numiri* 2, 5, PG 3, 644 A.

cum să fie zidiri dezlegatele ieşiri/purcederi şi dări ale lui Dumnezeu, când dezlegata dare este fireşte[87] unită dătătorului, după cum vedem că se întâmplă cu lumina? Şi mergând marele [Dionisie] mai departe, şi [e]numeră dările acestea, [pe fiecare] în parte. Că zicând «dezlegatele dări», mai apoi zice: «dările de fiinţă, dările de viaţă, facerile de înţelepciune, celelalte daruri ale pricinii bunătăţii tuturor, după care[88] din împărtăşiri şi din cele ce se împărtăşesc[89] sînt lăudate Cele neîmpărtăşit împărtăşite[90]»[91]; Care sînt Acestea? Tatăl şi Fiul şi Duhul sfânt.

[12] Pe Acestea, aşadar, de-Dumnezeu-cuvântătorii le laudă *din cele ce se împărtăşesc* [de ceva], adică din cele ce prin împărtăşire au faptul de a fi, adică din cele zidite; dar şi din *împărtăşiri*, adică din dări, care nu prin împărtăşire au faptul de a fi[92]; că [altminteri] nu ar mai fi *împărtăşiri*, ci *unele ce se împărtăşesc* [de ceva]. Iar dacă nu prin părtăşie au faptul de a fi, atunci nici zidite [nu sînt]; şi nefiind zidite, nici afară de Dumnezeu [nu sînt], ci din El şi întru El sînt, după cum şi arată marele [Dionisie] acesta, mergând mai departe. Prin urmare, nu doar după fiinţă şi [după] deosebirea dintre cele trei Ipostasuri este nezidit Dumnezeiescul, ci şí după deosebirea [datorată] ieşirilor şi lucrărilor acestora, care împărtăşiri sînt ale celor ce sînt[93], dar nu prin împărtăşire [de ceva] au faptul de a fi; că dacă prin împărtăşire are împărtăşirea faptul de a fi, [atunci] şi aceasta[94] – iarăşi – va avea faptul acesta printr-o altă împărtăşire, şi aceasta prin alta şi tot aşa la nesfârşit.

[13] Mai mult, trebuie neapărat ca ceea ce este împărtăşit [celor ce sînt] să existe mai dinainte de cele ce se

[92] *Ibidem* 5, 5, PG 3, 820 AC şi 2, 5, PG 3, 644 A.

[93] Adică: sînt împărtăşiri date celor ce sînt.

[94] «aceasta»: împărtăşirea prin care împărtăşirea are faptul de a fi.

κτισμάτων πάντων· οὐκοῦν καὶ προϋπάρχουσι πάντων τῶν κτισμάτων, ταὐτὸν δ' εἰπεῖν ἄκτιστοί εἰσι. Καὶ μὴν οὐδὲν τῶν κτισμάτων ὑπὲρ τὰ ὄντα ἐστί. Τὰς δὲ μετοχὰς ταύτας καὶ ἀρχὰς καὶ θείας δωρεάς, εἰ καὶ ὄντα ὀνομάζει, ἀλλὰ καὶ ὑπὲρ τὰ ὄντα εἶναι πολλαχοῦ τῶν λόγων ὁ μέγας Διονύσιός φησιν· ἀλλὰ καὶ παραδείγματα τῶν ὄντων εἶναι ταύτας προϋφεστηκυίας ἐν θεῷ καθ' ὑπερούσιον ἕνωσιν. Πῶς οὖν ἂν εἶεν αὗται κτίσματα; Ἐφεξῆς δὲ καὶ τί ταῦτα τὰ παραδείγματα διδάσκων ἐπιφέρει· «παραδείγματα δέ φαμεν εἶναι τοὺς ἐν θεῷ τῶν ὄντων οὐσιοποιοὺς καὶ ἑνιαίως προϋφεστῶτας λόγους, οὓς ἡ θεολογία προορισμοὺς καλεῖ, καὶ θεῖα καὶ ἀγαθὰ θελήματα τῶν ὄντων ἀφοριστικὰ καὶ ποιητικά, καθ' οὓς ὁ ὑπερούσιος τὰ ὄντα πάντα καὶ προώρισε καὶ παρήγαγε». Πῶς οὖν οἱ προορισμοὶ καὶ τὰ ποιητικὰ τῶν ὄντων θεῖα θελήματα κτιστά; Πῶς δ' οὐ φανεροὶ τυγχάνουσιν ὄντες τὴν τοῦ θεοῦ πρόνοιαν εἰς κτίσμα κατασπῶντες, οἱ τὰς προόδους ταύτας καὶ ἐνεργείας τιθέμενοι κτιστάς; Ἡ γὰρ οὐσιοποιὸς καὶ ζωοποιὸς καὶ σοφοποιὸς καὶ ἁπλῶς ἡ ποιητικὴ καὶ συνεκτικὴ τῶν κτιστῶς ὄντων ἐνέργειά ἐστι τὰ θεῖα ταῦτα θελήματα καὶ αἱ θεῖαι δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος, αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις.

---

[95] Altfel zis: 'de împărtăşituri'.

[96] Sau modelele; sau arhetipurile.

[97] Adică: prin.

[98] Sau: definitorii, determinante.

[99] Adică: prin care, pe baza cărora, din unghiul cărora.

[100] *Despre dumnezeieştile numiri* 5, 8, PG 3, 824 C.

[101] Adică: determinante, definitorii.

[102] «cuprinzătoare»: con-prinzătoare, con-ţinătoare.

[103] Făpturile există pentru că au fost zidite, faptul de a fi şi l-au dobândit prin faptul de a fi zidite; astfel că sînt numite aici nu doar *'cele ce sînt'*, ci

împărtăşesc [de aceasta]; iar de împărtăşiri[95] se împărtăşesc *toate* zidirile; aşadar [acestea] şi sînt mai dinainte de zidirile toate, totuna cu a spune că sînt nezidite. Că dintre zidiri nici nu este vreuna mai presus de cele ce sînt; pe când împărtăşirile acestea şi obârşiile [acestea] şi dumnezeieştile dări, deşi marele Dionisie le numeşte ὄντα [adică: întocmai ca pe *cele ce sînt*], în multe locuri din scrierile [lui] zice însă despre ele şi că sînt *mai presus de cele ce sînt*; zice însă despre acestea şi că sînt paradigmele[96] celor ce sînt, [paradigme] de mai înainte subzistente în Dumnezeu, după[97] [o] unire mai-presus-de-fiinţă. Cum, dar, unele ca acestea să fie zidiri? Şi învaţând[u-ne] mai apoi şi ce sînt paradigmele acestea, adaugă: «iar 'paradigme' spunem a fi logosurile celor ce sînt, [logosuri] de-fiinţă-făcătoare şi dinainte-subzistente în Dumnezeu în chip unitar şi pe care teologia le numeşte prehotărâri, [dar] şi voi[ri] dumnezeieşti şi bune, hotărâtoare[98] şi făcătoare ale celor ce sînt, [logosuri] după care[99] Cel mai-presus-de-fiinţă le-a şi pre-hotărât pe cele ce sînt şi le-a şi adus la fiinţă»[100]. Cum, dar, prehotărârile [acestea] şi dumnezeieştile voi[ri] – [cele] hotărnicitoare[101] şi făcătoare ale celor ce sînt – să fie zidite? Cum, dar, cei ce create socotesc ieşirile/purcederile şi lucrările acestea nu sînt daţi astfel pe faţă cum că pronia lui Dumnezeu o pun în rând cu zidirea? Că lucrarea cea de-fiinţă-făcătoare şi de-viaţă-făcătoare şi de-înţelepciune-făcătoare şi, într-un cuvânt, cea făcătoare şi cuprinzătoare[102] a *celor ce* – [în chip] zidit – *sînt*[103] nu e altceva decât aceste voi[ri] dumnezeieşti şi dumnezeieşti daruri ale bunătăţii celei pricinuitoare a toate, [şi anume] dările-de-fiinţă, dările-de-viaţă, facerile-de-înţelepciune.

'*cele ce* – [în chip] zidit – *sînt*'. Spre deosebire de făpturi, lucrările necreate ale lui Dumnezeu nu prin zidire şi-au luat faptul de a fi, ci există în chip nezidit; ele pot fi deci numite '*cele ce* – [în chip] nezidit – *sînt*'.

[14] Συμφθεγγέσθω δὲ ἡμῖν ὁ θεῖος Μάξιμος τὴν ποιητικὴν τῶν ὄντων πρόνοιαν τὰς προόδους εἶναι ταύτας τοῦ θεοῦ γράφων ἐν *Σχολίοις*· «κοιναὶ δέ εἰσι τῆς τρισυποστάτου διακεκριμένης ἑνάδος αἱ δημιουργικαὶ πρόνοιαί τε καὶ ἀγαθότητες», τουτέστιν αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις. Τῷ μὲν οὖν πολλὰς φάναι ταύτας καὶ διακεκριμένας ἔδειξε μὴ τὴν οὐσίαν οὔσας ταύτας τοῦ θεοῦ· μία γὰρ αὕτη καὶ παντάπασιν ἀδιαίρετος. Ἐπεὶ δὲ καὶ κοινὰς ἔφη τῆς τρισυποστάτου διακεκριμένης ἑνάδος, οὐδὲ τὸν υἱὸν εἶναι καὶ τὸ πνεῦμα τὸ ἅγιον παρέστησεν ἡμῖν· τούτων γὰρ οὐδὲν τῶν τριῶν ἐνέργεια κοινή. Τῷ δὲ μὴ μόνον προνοίας ταύτας φάναι καὶ ἀγαθότητας, ἀλλὰ καὶ δημιουργικάς, ἀκτίστους ὑπαρχούσας ἔδειξεν· εἰ γὰρ μή, δεδημιουργημένον ἔσται τὸ δημιουργικόν. Οὐκοῦν ἑτέρῳ δημιουργικῷ, κἀκεῖνο πάλιν ἑτέρῳ δεδημιουργημένον ἔσται, καὶ πρὸς τὸ εἰς ἔσχατον τοῦτ' ἐλαύνειν ἀτοπίας οὐδ' ἐπ' ἄπειρον στήσεται βαδίζον.

[15] Αἱ τοῦ θεοῦ ἄρα πρόοδοι καὶ ἐνέργειαι καὶ μεταδόσεις, αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις καὶ ὅσα τούτοις παραπλήσια, πρόνοιαι καὶ ἀγαθότητές εἰσιν ἄκτιστοι θεοῦ, καὶ αὐτός ἐστιν αὗται ὁ θεός, εἰ καὶ μὴ κατ' οὐσίαν· κατ' ἐκείνην γὰρ ἀμέριστος καὶ ἀμέθεκτός ἐστι τελέως πάντων ἀπολελυμένος ὤν, ὡς μηδένα τῶν ὅσοι τῆς κατ' εὐσέβειαν ἀκριβείας ἐπιγνώμονες κατ' αὐτὴν νοῆσαι θεὸν ἢ ἐξειπεῖν ἐπιχειρῆσαί ποτε, νοεῖν δὲ καὶ λέγειν ἐγχειρεῖν ἀεὶ πάντας τοὺς ἱεροφάντας περὶ τῆς αὐτοῦ προνοίας καὶ

[104] Literal: demiurgicele, făuritoarele.
[105] *Sholii la 'Despre dumnezeieştile numiri* 2, 5', PG 4, 221 AB.
[106] După ființă, adică.

[14] Şi grăiască-ne împreună dumnezeiescul Maxim, cel ce scrie în *Sholii* că dumnezeieştile acestea ieşiri/purcederi ale lui Dumnezeu [nu] sînt [altceva decât] pronia cea făcătoare a celor ce sînt: «comune, dar, sînt [Celei] în-trei-ipostasuri deosebitei Unimi făcătoarele[104] pronii şi bunătăţi»[105], adică dările-de-fiinţă, dările-de-viaţă, facerile-de-înţelepciune. Că zicând, aşadar, pe de o parte, că acestea sînt multe şi deosebite, a arătat că acestea nu sînt fiinţa lui Dumnezeu; că una este aceasta, şi cu totul de neîmpărţit. Şi, pe de alta, fiindcă a spus că sînt comune [Celei] în-trei-ipostasuri deosebitei Unimi, ni le-a înfăţişat a nu fi nici Fiul, nici Duhul sfânt; ci niciunul din Aceştia nu e lucrare comună a Celor trei. Iar prin faptul de a le numi pe acestea nu doar 'pronii şi bunătăţi', ci şi 'făcătoare', le-a vădit a fi nezidite; că de nu, atunci făcut ar fi făcătorul, aşadar [făcut] prin alt făcător, iar acela – iarăşi – va fi făcut prin altul şi nu va înceta a se împinge [argumentaţia] aceasta până la absurditatea extremă.

[15] Prin urmare ieşirile/purcederile şi lucrările şi dările lui Dumnezeu – dările-de-fiinţă, dările-de-viaţă, facerile-de-înţelepciune şi [toate] câte sînt asemenea acestora – sînt *nezidite* pronii şi bunătăţi ale lui Dumnezeu; şi Însuşi Dumnezeu este acestea, deşi nu după fiinţă; că după aceea[106] [El] este [de] neîmpărţit şi [de] neîmpărtăşit, dezlegat fiind [El] cu desăvârşire de toate, încât nimeni din câţi sînt cunoscători ai acriviei binecinstirii [de Dumnezeu] nu s-a apucat vreodată să Îl înţeleagă – şi să Îl înfăţişeze – pe Dumnezeu *după aceasta* [adică *după fiinţă*], ci pe toţi arătătorii-de-cele-sfinte [îi vezi] că se străduiesc pururea a înţelege şi a vorbi despre pronia şi bunătatea Lui, după care[107] – săvârşitoare fiind ea a celor

[107] «după care»: pronie şi bunătate din unghiul căreia.

ἀγαθότητος, καθ' ἣν τῶν ἔξωθεν οὖσαν ἀπεργαστικήν, αἰτιός ἐστι τῶν ὄντων πάντων· τῷ γὰρ εἶναι ταύτην ἡ τῶν ὅλων παραγωγὴ καὶ ὑπόστασις ὑπῆρξεν. Οὐδὲν γὰρ ἕτερον ἡ θεία πρόνοια, ἢ τοῦ θεοῦ πρὸς τὰ καταδεέστερα ἐπιστροφὴ καὶ ἀγαθὴ θέλησίς ἐστι. Καὶ αὐτὴ πρὸ πάντων ἦν, οἷόν τις κοινὴ προμήθεια τῶν ἐσομένων, καὶ δι' αὐτὴν ἅπαντα κατὰ καιρὸν προῆκται ὡς ὑπὸ δημιουργικῆς θελήσεως καὶ ἐνεργείας, καὶ ἐν αὐτῇ συνέστηκε τὸ πᾶν, ὡς ἐν συνεκτικῇ φρουρᾷ καὶ περιληπτικῇ ἑστίᾳ τοῦ παντός. Διὰ ταῦτα τοίνυν ἡ μία πρόνοια καὶ ἀγαθότης, δι' ἣν τῶν ὑποδεεστέρων ἐπιμέλειαν ποιεῖται ὁ θεός, οὐ μία μόνον, ἀλλὰ καὶ πολλαὶ πρόνοιαι καὶ ἀγαθότητες καλοῦνται παρὰ τῶν θεολόγων.

[16] Ἐπεὶ δὲ καὶ διὰ τὴν τῆς ἀγαθότητος ἀνείκαστον ὑπερβολὴν πολυειδὲς ὑπέστησε τὸ πᾶν ὁ προαγωγεὺς καὶ κοσμήτωρ τοῦ παντός, τὰ μὲν εἶναι μόνον ἐθελήσας, τὰ δὲ πρὸς τῷ εἶναι κεκτῆσθαι καὶ ζωήν· καὶ τὰ μὲν νοερᾶς ταύτης εὐμοιρεῖν, τὰ δὲ μόνης ἀπολαύειν τῆς κατ' αἴσθησιν, ἔστι δ' ἃ καὶ μικτὴν ταύτην ἐξ ἀμφοτέρων ἐσχηκέναι· καὶ τῶν λογικὴν καὶ νοερὰν παρ' αὐτοῦ λαβόντων τὴν ζωήν, τῇ πρὸς αὐτὸν ἐθελουσίῳ νεύσει τῆς αὐτοῦ ἑνώσεως ἐπιτυγχάνειν καὶ ζῆν οὕτω θείως καὶ ὑπερφυῶς τῆς αὐτοῦ κατηξιωμένα θεουργοῦ χάριτος καὶ ἐνεργείας· ἡ γὰρ αὐτοῦ θέλησις γένεσίς ἐστι τοῖς

[108] Altfel zis: tocmai pentru că există aceasta.
[109] Literal: în timp.
[110] «strajă»: aici cu sensul de loc unde stă străjerul, post de veghe.
[111] Imaginea e tributară textelor areopagitice; vezi, de pildă, *Despre dumnezeieştile numiri* 1, 7 (ed. De Gruyter, p. 120, r. 2) şi 4, 1 (De Gruyter, p. 144, r. 14).
[112] Este vorba – pare-se – de numitele 'cele ce vor fi', de zidiri, adică.
[113] Literal: 'unele a avea parte de aceasta înțelegătoare'; adică: de 'varianta' ei inteligibilă, netrupească; este vorba despre Îngeri.

dinafară – este Pricinuitor a toate cele ce sînt; că [tocmai] prin faptul de a fi aceasta[108] a luat început aducerea la fiinţă şi la subzistenţă a tuturora. Că pronia dumnezeiască nu e nimic altceva decât întoarcerea/aplecarea lui Dumnezeu asupra celor mai prejos [de El] şi buna voire [a Lui în privinţa lor]. Iar *aceasta* era mai dinainte de toate, ca o grijă – de obşte – de [toate] cele ce vor fi, şi *datorită acesteia* au fost aduse toate [la fiinţă] la vremea lor[109], ca de către o făcătoare voi[r]e şi lucrare, şi *întru aceasta* s-a închegat totul, ca într-o strajă[110] con-prinzătoare şi vatră con-ţinătoare a totului[111]. Pentru acestea[112], aşadar, pronia – şi bunătatea – cea una, [cea] datorită căreia Dumnezeu poartă grija celor mai prejos [de El], nu doar una este, ci cuvântătorii-de-Dumnezeu pomenesc [totodată] şi [de] 'multe pronii şi bunătăţi'.

[16] Şi fiindcă, datorită covârşirii celei neurmate a bunătăţii [Sale], [nu uniform, ci] multiform e întregul cel adus la fiinţă de făcătorul şi împodobitorul totului – că pe unele le-a voit doar a fi, iar altele [a voit] ca, pe lângă [faptul de] a fi, să dobândească şi viaţă; şi unele să aibă parte de cea înţelegătoare[113], altele să se bucure doar de cea după simţire[114], iar altele să o aibă amestecată din amândouă[115]; iar, din cele ce au luat de la El viaţa cea cuvântătoare şi înţelegătoare, [unele], prin năzuirea lor de voie către Dânsul, să aibă parte de unirea Lui şi să trăiască, astfel, dumnezeieşte şi mai-presus-de-fire, învrednicindu-se de harul [adică darul sau darea] şi lucrarea Lui îndumnezeitoare; că voia Sa este facere[116] celor ce sînt, ori celor aduse la fiinţă ori celor îmbunătăţite; iar aceasta

[114] Adică: doar viaţa din unghiul simţirilor trupeşti, adică biologică; este vorba de vietăţile necuvântătoare.
[115] Neamul omenesc, adică.
[116] Sau geneză.

οὖσιν, ἢ προαγομένοις ἐκ μὴ ὄντος ἢ βελτιουμένοις, καὶ τοῦτο διαφόρως. Διὰ ταύτην τὴν ἐπὶ τὰ ὄντα τοῦ θείου θελήματος διαφορὰν ἡ μία ἐκείνη πρόνοια καὶ ἀγαθότης, ταὐτὸ δ' εἰπεῖν ἡ δι' ἀγαθότητα πρὸς τὰ καταδεέστερα τοῦ θεοῦ ἐπιστροφή, πολλαὶ πρόνοιαί τε καὶ ἀγαθότητες καί εἰσι καὶ λέγονται, ἀμερίστως ἐν τοῖς μεριστοῖς μεριζόμεναι καὶ ποικιλλόμεναι, ὡς τὴν μὲν προγνωστικὴν τοῦ θεοῦ δύναμιν καλεῖσθαι κατὰ τὰς ἀνωτέρω εἰρημένας, τὴν δὲ δημιουργικήν τε καὶ συνεκτικήν, τούτων δ' αὖ, κατὰ τὸν μέγαν Διονύσιον, τὰς μὲν οὐσιώσεις, τὰς δὲ ζωώσεις, τὰς δὲ σοφοποιήσεις. Ἑκάστη δὲ τούτων κοινή ἐστι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ κατ' αὐτὴν ἑκάστην τὴν περὶ ἡμᾶς ἀγαθὴν καὶ θείαν θέλησιν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιόν ἐστιν ἡ οὐσιοποιὸς καὶ ζωοποιὸς καὶ σοφοποιὸς ἐνέργειά τε καὶ δύναμις.

[17] Ἀκούοις δ' ἂν παρὰ τῶν αὐτῶν καὶ ἀϊδίους νοήσεις καὶ κινήσεις εἶναι θεοῦ τὰς ἐνεργείας διδασκόντων ταύτας· τοῦ γὰρ μεγάλου Διονυσίου εἰπόντος «κινεῖσθαι τὸν θεὸν τῷ εἰς οὐσίαν ἄγειν καὶ συνέχειν τὰ πάντα, καὶ εὐθεῖαν μὲν αὐτοῦ κίνησιν τὴν ἀπαρέγκλιτον πρόοδον τῶν ἐνεργειῶν, ἑλικοειδῆ δὲ τὴν σταθερὰν πρόοδον καὶ τὴν γόνιμον στάσιν, κατὰ κύκλον δὲ τὸ ἐπιστρέφειν τὰ ὄντα πρὸς ἑαυτόν», ὁ θεῖος Μάξιμος, «κίνησίς ἐστι», φησί, «θεοῦ ἡ εἰς τὸ γενέσθαι τὰ ὄντα βούλησις αὐτοῦ καὶ αἱ πρόοδοι τῆς εἰς πάντα προνοίας αὐτοῦ». Πῶς οὖν αἱ πρὸς τὰ ὄντα κινήσεις οὐχὶ τῆς οὐσίας οὐδὲ περὶ τὴν οὐσίαν, ἀλλ' οὐσία ἔσονται, καὶ ταῦθ' αἱ πλείους; Πρὸς δὲ Τίτον ἐπιστέλλοντος τοῦ μεγάλου, καὶ τίς ὁ

[117] V. şi *Dialogul Ortodoxului cu Varlaamitul* 47 şi *Antireticul către Achindin* 5, 27.
[118] Se continuă aici fraza începută în debutul paragrafului.
[119] «felurite»: ajunse a avea multe variante.

în chip diferit/felurit[117] – [aşadar][118], datorită diferenţei/felurimii acesteia a dumnezeieştii voi[r]i în privinţa celor ce sînt, pronia – şi bunătatea – aceea cea una (altfel zis: întoarcerea/aplecarea lui Dumnezeu, datorată bunătăţii, asupra celor mai prejos [de Dânsul]) este – şi este şí numită – *multe* pronii şi bunătăţi, împărţite şi felurite[119] [în chip] neîmpărţit întru cele împărţite, încât una se numeşte (în înţelesul mai sus arătat) *putere dinainte-ştiutoare* a lui Dumnezeu, iar alta făcătoare şi con-prinzătoare; şi iarăşi, dintre acestea – după marele Dionisie – unele *dări-de-fiinţă*, altele *dări-de-viaţă*, iar altele *faceri-de-înţelepciune*. Iar fiecare din acestea comună este Tatălui şi Fiului şi sfântului Duh; şi, după[120] fiecare astfel de bună şi dumnezeiască voie cu noi, [Însuşi] Tatăl şi Fiul şi Duhul sfânt *este* lucrarea şi puterea de-fiinţă-făcătoare şi de-viaţă-făcătoare şi de-înţelepciune-făcătoare.

[17] Şi tot pe aceiaşi i-ai putea auzi învăţând şi că veşnice înţelegeri şi mişcări ale lui Dumnezeu sînt lucrările acestea; că spunând marele Dionisie că 'Dumnezeu Se mişcă prin faptul de a aduce toate la fiinţă şi a le con-prinde', şi că 'mişcare [în linie] dreaptă Îi este neabătuta ieşire/purcedere a lucrărilor, [în] spirală – statornica ieşire/purcedere şi rodnica oprire/stare, iar în cerc faptul de a le întoarce către Sine pe cele ce sînt'[121], dumnezeiescul Maxim «mişcare a lui Dumnezeu» zice «este voia Sa de a fi făcute cele ce sînt, şi ieşirile – spre toate – ale proniei Sale»[122]. Cum, dar, ieşirile spre cele ce sînt să nu fie *ale* fiinţei [lui Dumnezeu], nici să fie *împrejurul* fiinţei [Lui], ci să fie *fiinţa* [*însăşi* a lui Dumnezeu], când – tocmai – [ele] sînt multe? Şi scriind marele [Dionisie] lui Tit

[120] Adică: din unghiul a.

[121] *Despre dumnezeieştile numiri* 9, 9, PG 3, 916 CD.

[122] *Sholii la 'Despre dumnezeieştile numiri 9, 9'*, PG 4, 381 CD.

τῆς σοφίας οἶκος καὶ τὰ ἐν αὐτῷ διευκρινοῦντος, καὶ τὸ περιφερὲς καὶ ἀναπεπταμένον τοῦ ἐν ἐκείνῃ κρατῆρος εἰπόντος εἶναι τὴν ἄναρχον καὶ ἀτελεύτητον τῶν ὅλων πρόνοιαν, ὁ θεῖος πάλιν Μάξιμος, «ἄναρχον», φησίν, «εἶπε τὴν τῶν ὅλων πρόνοιαν, ὡς ὄντων πάντων ἐν ταῖς ἀϊδίοις τοῦ θεοῦ νοήσεσιν, ἃς καὶ προορισμοὺς ὁ Παῦλος ἔφη· καθ' ἃς ἀϊδίους τοῦ θεοῦ νοήσεις τὰ μέλλοντα παράγεσθαι προετυποῦτο, καὶ ἡ πρόνοια τοῦ θεοῦ ἀνάρχως προϋπῆρχε· προνοίας γὰρ ἦν τὸ βούλεσθαι παραγαγεῖν κτίσιν τὴν μέλλουσαν ἀπολαύειν τῆς προνοητικῆς ἀγαθότητος αὐτοῦ». Πῶς οὖν αἱ πολλαὶ νοήσεις καὶ οἱ κατ' αὐτὰς τύποι τῶν μελλόντων καὶ ἡ τούτων πρόνοια καὶ ἡ κατὰ ταύτην βούλησις οὐχὶ τῆς θείας οὐσίας, ἀλλ' αὐτὰ ἔσονται οὐσία, καὶ ταῦθ' οἷς ἐνθεωρεῖται σχέσις πρὸς τὰ ὄντα τοῦ κατ' οὐσίαν παντάπασιν ἀσχέτου;

[18] Διονυσίου μέντοι πάλιν τοῦ μεγάλου γεγραφότος ἐν τοῖς περὶ τοῦ ὄντος, «ἐκ τοῦ θεοῦ καὶ ἐν τῷ θεῷ καὶ αὐτὸ τὸ εἶναι καὶ τὰς τῶν ὄντων ὑπάρχειν ἀρχάς», ὁ πολὺς τὰ θεῖα Μάξιμος, «τὰ ἐξ αὐτοῦ», φησί, «καὶ ἐν αὐτῷ νόες εἰσὶν ἐοικότες θεωρήμασι τῆς ἐπιστήμης. Εἰσὶ δὲ ὁμοῦ καὶ διακεκριμένα ἐν αὐτῷ, ὡς καὶ ἐν ψυχῇ πολλαὶ ὁμοῦ ἐπιστῆμαι οὖσαι, ἀσύγχυτοι μένουσι καὶ ἐνεργοῦσιν ἔξω κατὰ μίαν, ὅταν δέῃ». Βαρλαὰμ τοίνυν καὶ Ἀκίνδυνος κτιστὰς λέγοντες ταύτας τὰς προόδους, καθ' ἃς ἡνωμένως διακρίνεται τὸ θεῖον, κτίσμα ποιοῦσι

[123] *Epistola a IX^a* (*Către Tit ierarhul*) 3, PG 3, 1109 B.
[124] «după care»: prin care, din unghiul cărora.
[125] *Sholii la epistolele Areopagitului* 9, 3, PG 4, 569 CD.
[126] Legat de termenul *σχέσις* vezi nota 4 de la paragraful 2.
[127] Este vorba de existența creată, de ființarea celor ce sînt.
[128] *Despre dumnezeieştile numiri* 5, 6, PG 3, 820 CD.
[129] Sau vederilor sau viziunilor ei.

şi limpezind cine/care este casa înţelepciunii şi cele din ea, şi rotunjimea şi deschiderea potirului din aceea, zicând că este cea fără-de-început şi fără-de-sfârşit purtare de grijă faţă de toate[123], iarăşi zice dumnezeiescul Maxim că «fără-de-început îi spune proniei faţă de toate, ca fiind ele întru veşnicele înţelegeri ale lui Dumnezeu, pe care Pavel le-a numit şi 'prehotărâri', prehotărâri ale lui Dumnezeu după care[124] erau dinainte-închipuite [spre] a fi aduse la fiinţă cele ce aveau să fie şi [după care] a pre-existat [în chip] nezidit pronia lui Dumnezeu; că [nu altceva decât] pronie era faptul de a voi să fie adusă la fiinţă zidirea ce avea să fie [spre] a se bucura de bunătatea Sa proniatoare»[125]. Cum, dar, multele înţelegeri şi [multele] – din unghiul lor – închipuiri ale celor viitoare şi pronia acestora şi voi[re]a cea din unghiul acesteia, [cum dar acestea] să nu fie *ale* dumnezeieştii fiinţe, ci să fie ele însele [dumnezeiasca] fiinţă, şi aceasta [când tocmai] în ele se şi vede [cu mintea] relaţia/legătura[126] cu cele ce sînt a Celui ce – după fiinţă – dezlegat este de toate?

[18] Dar [tot] Dionisie scriind, iarăşi, în [spusele] cele *Despre Cel ce este* [cum că] '*din Dumnezeu* [sînt] şi *în Dumnezeu* sînt însuşi faptul de a fi[127] şi începuturile/principiile celor ce sînt'[128], Maxim cel mult [deprins] în cele dumnezeieşti spune că «cele *din El* şi *în El* sînt înţelesurile/gândurile, asemeni teoriilor ştiinţei[129]; şi sînt – în El – laolaltă şi deosebite, după cum şi în suflet multe fiind ştiinţele, neamestecate[130] rămân şi lucrează înafară câte una, [atunci] când trebuie»[131]. Varlaam, aşadar, şi Achindin – create zicând [ei a fi] ieşirile/purcederile acestea, [cele] după care[132], [în chip] unit, se deosebeşte

[130] Adică neconfundate.

[131] *Sholii la 'Despre dumnezeieştile numiri 5, 6'*, PG 4, 320 CD.

[132] Sau 'prin care'.

τὸν θεόν, καὶ δυσσεβέστατα διχοτομοῦσι τοῦτον εἰς κτιστὰ καὶ ἄκτιστα· τὴν μὲν οὐσίαν τῆς ἁγίας τριάδος ἄκτιστον τιθέμενοι, τὰς δὲ κοινὰς προόδους καὶ ἐνεργείας καὶ ἐκφάνσεις ταύτης εἶναι διατεινόμενοι κτιστάς. Καίτοι Διονύσιος ὁ μέγας κἀν τῇ πρὸ τῶν ἄλλων παρ' ἡμῶν τὴν ἀρχὴν προβεβλημένῃ ῥήσει, τήν τε διάκρισιν τῶν ὑποστάσεων καὶ τὴν τῶν μεταδόσεων, μᾶλλον δὲ πάσας τὰς θείας ἑνώσεις καὶ διακρίσεις, ἑνὶ λόγῳ συμπεριείληφεν· οὐδὲ γὰρ αἱ εἰρημέναι μόναι διατελοῦσιν, εἰ μηδὲ γοῦν ταῖς εἰρημέναις Βαρλαὰμ καὶ Ἀκίνδυνος προσέσχον. Ἑνὶ μέντοι λόγῳ πάσας συμπεριείληφεν ὁ μέγας, ἵνα μηδεμίαν τῶν ὁμοταγῶν τούτων τολμᾷ τις ἀθέσμως εἰς τὴν κτίσιν κατασπᾶν. Διὸ μετὰ τὸ διευκρινῆσαι τὰ κατὰ τὴν ὑποστατικὴν διάκρισιν, ἐπαναλαμβάνων τὸν λόγον, «χρὴ δέ», φησίν, «ὡς οἶμαι, μᾶλλον ἀναλαβόντας ἡμᾶς τὸν παντελῆ τῆς θείας ἑνώσεως καὶ διακρίσεως ἐκθέσθαι τρόπον», δεικνὺς ὅτι καὶ ἄλλαι τινές εἰσιν ἐπὶ θεοῦ ἑνώσεις τε καὶ διακρίσεις. Εἶθ' ὡς ἂν μηδεὶς ἀπειθῇ τῶν εὐσεβῶν, ὁροθετοῦντας προάγει περὶ τῶν θείων τούτων ἑνώσεων καὶ διακρίσεων τοὺς ἱερῶς μυσταγωγήσαντας καὶ τὴν ἀρχὴν τὰ τῆς θεολογίας παραδόντας· «λέγουσι γάρ», φησίν, «ὅπερ καὶ ἐν ἑτέροις ἔφην, οἱ τῆς καθ' ἡμᾶς θεολογικῆς παραδόσεως ἱερομύσται, τὰς μὲν ὑπεριδρύσεις τὰς ἀνεκφοιτήτους καὶ κρυφίας τῆς ὑπεραγνώστου καὶ ὑπεραῤῥήτου μονιμότητος, τὰς ἑνώσεις εἶναι τὰς θείας»· τουτέστι τὴν ἐν ἑαυτῷ τοῦ θεοῦ παντάπασιν ἡμῖν ἀπερινόητον ἵδρυσίν τε καὶ

[133] Literal: reluând cuvântul.
[134] Literal: tot modul; adică: fiecare mod.
[135] *Despre dumnezeieştile numiri* 2, 4, PG 3, 640 D.
[136] Literal: au iniţiat în cele ce... .

Dumnezeiescul – zidire Îl fac pe Dumnezeu şi [în chip] preanecinstitor [de Dumnezeu] Îl despică în create şi necreate, fiinţa sfintei Treimi socotind-o necreată, iar comunele ieşiri/purcederi şi lucrări şi arătări ale Acesteia proclamându-le a fi create; măcar că Dionisie cel mare şi în zicerea pusă de noi la început, înaintea celorlalte, într-un singur cuvânt a cuprins deosebirea Ipostasurilor şi pe cea a dărilor – mai bine zis: toate dumnezeieştile uniri şi deosebiri; că nu sînt doar cele pomenite, măcar că Varlaam şi Achindin nici la acestea nu au luat aminte –; aşadar, marele [Dionisie] într-un singur cuvânt le-a cuprins pe toate, ca pe niciuna dintre acestea, [cele] de-un-rang, să nu cuteze cineva a o coborî, în chip neîngăduit, în treapta zidirii. [Fapt] pentru care, după ce deosebeşte cele din unghiul deosebirii celei după Ipostasuri, întorcându-se la ce spunea înainte[133], «trebuie însă», zice, «după cum socot, să înfăţişăm [şi] mai mult – întorcându-ne [la el] – tot chipul[134] dumnezeieştii uniri şi deosebiri»[135], arătând [astfel] că la Dumnezeu sînt şi oarecare alte uniri şi deosebiri. Apoi, ca nimeni din cei bine-cinstitori să nu fie necredincios, îi aduce de faţă – spre a hotărî/defini [ei] cele privitoare la dumnezeieştile acestea uniri şi deosebiri – pe cei ce [în chip] sfinţit au săvârşit călăuzirea la taina[136] celor ce ţin de cuvântarea-de-Dumnezeu şi le-au [pre]dat la început [Bisericii]; «pentru că», zice, «– ceea ce şi în alte părţi am spus-o – sfinţiţii ştiutori-de-taină ai predaniei cuvântării noastre de Dumnezeu[137] spun, pe de o parte, că ascunsele şi neieşitele aşezări mai presus [de toate] ale Dăinuirii [Celei] mai presus de negrăire şi de necunoaştere sînt unirile cele dumnezeieşti»[138]; adică aşezarea şi [ră]mânerea/dăinuirea în Sine Însuşi a lui Dumnezeu

[137] Literal: iniţiaţii – în chip sfânt – ai tradiţiei noastre teologice.
[138] *Ibidem*.

μονήν, αὐτὸ τὸ μένειν ἐν ἑαυτῷ τὸν θεὸν καὶ μηδαμῶς πρὸς ἔκφανσιν προϊέναι καὶ κινεῖσθαι κατ' οὐσίαν, ἕνωσιν οἱ πατέρες ὀνομάζουσι.

[19] Τίνος δὲ χάριν τὴν ὑπεράγνωστον ἕνωσίν τε καὶ ἵδρυσιν πληθυντικῶς ὁ μέγας προήγαγε, προϊόντος τοῦ λόγου διαδειχθήσεται. Νῦν δὲ τὸ τοῦ θεοῦ πρὸς ἔκφανσιν ἀνεκφοίτητον ἕνωσιν ὀνομάζειν τοὺς πατέρας εἰπών, «τὰς ἀγαθοπρεπεῖς προόδους τε καὶ ἐκφάνσεις τῆς θεαρχίας», διακρίσεις ὀνομάσαι φησὶν αὐτούς, διδάσκων ὅτι τὴν τοῦ θεοῦ κίνησιν πρὸς ἔκφανσιν διάκρισιν οἱ πατέρες προσειρήκασιν. Οἳ καί φασι πάλιν κατ' αὐτόν—οὐδ' αὐτοὶ παρ' ἑαυτῶν λέγοντες, ἀλλὰ «τοῖς ἱεροῖς λογίοις ἑπόμενοι»—, φασὶ τοίνυν οὗτοι, «καὶ τῆς εἰρημένης ἑνώσεως εἶναί τινας ἰδίᾳ καὶ ἑνώσεις καὶ διακρίσεις. Ὡσαύτως δὲ καὶ τῆς εἰρημένης διακρίσεως». Τούτου χάριν ὁ μέγας μικρὸν ἀνωτέρω τὴν τοιαύτην ἕνωσίν τε καὶ διάκρισιν πληθυντικῶς προήγαγε· καὶ γὰρ οὐχ εἷς ἐστι τρόπος οὔτε τῆς θείας ἑνώσεως οὔτε τῆς διακρίσεως. Ἀλλὰ πλὴν τῆς θείας ἐνανθρωπήσεως—αὕτη γὰρ μόνου τοῦ υἱοῦ—τριττὴν εὑρήσει τις φιλομαθῶς ἐξετάζων ἐκ τῶν ἐφεξῆς τοῦ μεγάλου λόγων τὴν τῆς τρισυποστάτου θεότητος ἕνωσίν τε καὶ διάκρισιν· ἡνωμένως γὰρ αὕτη πάσας ἔχει τάς τε θέσεις καὶ τὰς ἀφαιρέσεις, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον. Πάσας μὲν γὰρ ἔχει τὰς θέσεις, ὧν ἐστι περιεκτικώτατον ἡ ἀγαθότης, ἐπεὶ πᾶν ὅ τι καλὸν αὐτῆς κατὰ τὸ γεγραμμένον. Ἀλλὰ πόθεν ἡμῖν

[139] Adică: arătarea lui Dumnezeu zidirilor este mişcare a Sa – şi ieşire a Sa – *după lucrare*, nu *după fiinţă*.
[140] Literal: 'neieşitului lui Dumnezeu'.
[141] Părinţii, adică.

cea cu totul de neînțeles nouă (faptul însuşi de a rămâne Dumnezeu în Sine Însuşi şi nicidecum a ieşi/purcede – şi a Se mişca – *după ființă* spre arătare[139]), [aceasta o] numesc Părinții 'unire'.

[19] Iar pentru care pricină marele [Dionisie] a pus la plural unirea şi aşezarea cea mai-presus-de-necunoaştere, [aceasta] se va arăta în [însăşi] curgerea cuvântului [său]. Acum, însă, zicând că neieşirii lui Dumnezeu spre arătare[140] Părinții îi spun 'unire', spune că 'ieşirile/purcederile şi arătările [în afară] – cele cuvenite Binelui – ale obârşiei [în]dumnezeirii' ei le numesc 'deosebiri', învățând[u-ne el] că mişcării lui Dumnezeu spre a Se arăta Părinții i-au dat numele de 'deosebire'; carii[141] spun, după [cum arată] el (nici aceştia de la ei înşişi vorbind, ci «urmând sfintelor cuvinte [ale Scripturii]») spun deci aceştia şi că «sînt anumite uniri şi deosebiri [care sînt] proprii şí pomenitei uniri şi, aşijderea, şí pomenitei deosebiri»[142]. Din pricina aceasta [aşadar] marele [Dionisie] a pomenit puțin mai sus la plural o asemenea unire şi deosebire; că nu [doar] unul este chipul[143] dumnezeieştii uniri, nici al dumnezeieştii deosebiri; ci, [în] afară de dumnezeiasca înomenire (că aceasta e doar a Fiului), *întreită* va afla – cel ce cercetează cu sârguință – din cuvintele de după ale marelui [Dionisie] unirea şi deosebirea Dumnezeirii celei în-trei-Ipostasuri; că [în chip] *unit* are Aceasta toate punerile şi scoaterile [adică toate afirmările şi negările], dar nu *în acelaşi chip*. Că are – pe de o parte – toate punerile/afirmările, iar [pe de altă parte] cea mai cuprinzătoare dintre ele este bunătatea, fiindcă tot [lucrul] cel bun – *al Ei* este, precum este scris[144]. Şi de

[142] *Ibidem*, 2, 4, PG 3, 641 A.

[143] Adică modul, felul.

[144] *Iacov* 1, 17.

ἔγνωσται πᾶν εἶναι καλὸν αὐτῆς; Ἐκ τοῦ πᾶν ὅ τι περ ἀγαθὸν εἶναι παρ' αὐτῆς.

[20] Οὐκοῦν ὡς δημιουργὸς καὶ αἴτιος τούτων ὁ θεὸς ἀπὸ τούτων κατ' ἐκείνας γινώσκεται καὶ ὀνομάζεται καὶ ἐν σχέσει τινὶ θεωρεῖται κατὰ ταύτας. Διὸ καὶ αἰτιολογικὰ τὰ τοιαῦθ' ὁ μέγας ἀνωτέρω εἴρηκε· τὸ ἀγαθόν, τὸ ὄν, τὸ ζωογόνον, τὸ σοφὸν καὶ ὅσα παραπλήσια τούτοις. Κατ' οὐσίαν δὲ πάντων ὑπερεξῃρημένος τε καὶ ἀπολελυμένος ὁ θεὸς ὑπάρχων καὶ τῶν τοιούτων ὑπερέχει σχέσεων. Οὐδὲ γὰρ ὥσπερ κέντρον μηδέν ἐστι πλέον ἢ τῶν ἐν τῷ κύκλῳ εὐθειῶν ἀρχή, οὕτω καὶ ὁ θεὸς οὐδέν ἐστι πλέον ἢ ἀρχὴ καὶ αἴτιον τῶν γεγονότων. Ἀλλ' ἔστι κατ' οὐσίαν ὄντως ὑπὲρ πᾶσαν σχέσιν τε καὶ μέθεξιν, καὶ τῆς ἀρχῆς ταύτης ὡς σχέσεως ὑπερεξῃρημένος. Ταῦτ' ἄρα πρὸς ταῖς θέσεσι καὶ τὰς ὑπεροχικὰς ἀφαιρέσεις ὅλη τε καὶ ἡνωμένως ἡ τρισυπόστατος θεότης ἔχει, ὧν ἐστι περιεκτικώτατον τὸ ὑπὲρ πᾶσαν καὶ ἀφαίρεσιν καὶ θέσιν· τοῦτο γάρ ἐστι «τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα». Ἔστιν οὖν τοῦ ἑνὸς τρισυποστάτου θεοῦ ἥ τε πάντων θέσις καὶ τὸ ὑπὲρ πᾶσαν θέσιν, κἂν Βαρλαὰμ καὶ Ἀκίνδυνος ἀπαρέσκωνται, καὶ διὰ τοῦθ' ἡμῖν λοιδοροῦνται συκοφαντοῦντες αὐτὸν ἑαυτοῦ τὸν θεὸν ἡμᾶς λέγειν ὑψηλότερον. Οὐδὲ γοῦν τὸν μέγαν Διονύσιον δυσωπηθέντες, ὃς ἡνωμένως ἔφη ταῦτ' ἔχειν τὸν θεὸν ἀμφότερα.

---

[145] Adică: afirmările/negările acelea.
[146] Altfel zis: *deosebiturile*.
[147] Sau: teoretizat.
[148] *Filipeni* 2, 9.

unde ni s-a făcut cunoscut nouă că al Ei este tot [lucrul] cel bun? Din [aceea] că [s-a scris că] tot [lucrul] cel bun – *de la Ea* este.

[20] Dumnezeu, aşadar, ca făcător şi pricinuitor al acestora, *după* [*punerile/scoaterile*[145]] *acelea* e cunoscut şi e numit de la acestea, şi *după* [*deosebirile*[146]] *acestea* este văzut [cu mintea[147]] în oarecare legătură/relaţie; [fapt] pentru care le-a şi spus pe acestea – mai sus – *în sens etiologic*, [şi anume] însuşirea de a fi bun, însuşirea de a fi, însuşirea de a fi de-viaţă-născător, însuşirea de a fi înţelept şi toate de felul acesta. *După fiinţă*, însă, dincolo de toate şi dezlegat [de toate] fiind Dumnezeu, e mai presus şí de astfel de legături/relaţii. Astfel, deci, pe lângă puneri [sau afirmări], dumnezeirea în-trei-ipostasuri are [proprii] – întreagă şi [*în chip*] *unit* – şí scoaterile [sau negările, cele] în înţeles de depăşire/superioritate, [scoateri/negări] dintre care cea mai cuprinzătoare este [aceea de a fi Ea] mai presus atât faţă de toată scoaterea [sau negarea], cât şi faţă de toată punerea [sau afirmarea]; că [de felul] acesta [Îi] este «numele cel mai presus de tot numele»[148]. Aşadar, al lui Dumnezeu Celui Unu [şi] în-trei-Ipostasuri este şí punerea/afirmarea a toate[149], şí [faptul de a fi] mai presus de toată punerea/afirmarea – măcar că aceasta displace lui Varlaam şi Achindin şi pentru aceasta ne ocărăsc, clevetindu-ne [cum] că susţinem că Dumnezeu este mai înalt decât Sine Însuşi; nici marelui Dionisie neplecându-i-se, celui ce a spus că [nu altcum decât în chip] unit le are pe amândouă acestea Dumnezeu.

[149] «punerea/afirmarea/afirmaţia a toate»: faptul de a-L numi pe Dumnezeu cu numele a toate câte sînt, ca Pricinuitor propriu-zis al acestora.

[21] Πρὸς μέντοι ταῖς εἰρημέναις δυσὶ τῆς τρισυποστάτου θεότητος ἑνώσεσιν ἔστι καὶ ἡ ἐν ἀλλήλαις τῶν ὑποστάσεων μονή τε καὶ περιχώρησις, ὁλικῶς καὶ μονίμως καὶ ἀνεκφοιτήτως ἐχομένων ἀλλήλων, ὡς μίαν εἶναι καὶ τὴν ἐνέργειαν τῶν τριῶν ὑποστάσεων. Οὐ καθάπερ ἐπ' ἀνθρώπων τριῶν ὁμοία μέν, ἀλλ' ἑκάστου καθ' ἑαυτὸν ἐνεργοῦντος ἰδία καὶ ἡ ἐνέργεια. Οὐχ οὕτω τοίνυν, ἀλλ' ὡς ἀληθῶς μίαν καὶ τὴν αὐτήν· μία γὰρ ἡ τοῦ θείου θελήματος κίνησις ἐκ προκαταρκτικοῦ αἰτίου τοῦ πατρὸς ὁρμωμένη καὶ διὰ τοῦ υἱοῦ προϊοῦσα καὶ ἐν τῷ ἁγίῳ πνεύματι προφαινομένη. Καὶ δῆλον ἐκ τῶν ἀποτελεσμάτων· ἐντεῦθεν γάρ, ὡς εἴρηται, πᾶσα ἐνέργεια καθίσταται γνώριμος. Καὶ τοίνυν οὐχ ὥσπερ ἄλλο παρ' ἄλλου σκυτέως ὑπόδημα τελεῖται, κἂν πάντων τὸ ἐπιτήδευμα πρὸς ἓν ὁρᾷ, οὕτω καὶ παρὰ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἴδιον ἀποτέλεσμα παρ' ἑκάστης ὁρᾶται τῶν ὑποστάσεων. Ἀλλὰ πᾶσα ἡ κτίσις τῶν τριῶν ἐστιν ἔργον ἕν, καὶ ἀπὸ ταύτης μίαν καὶ τὴν αὐτὴν τῶν τριῶν προσκυνητῶν προσώπων, ἀλλ' οὐκ ἀποτεταγμένην ἑκάστῳ καὶ ὁμοίαν νοεῖν ὑπὸ τῶν πατέρων μεμυήμεθα τὴν θείαν ἐνέργειαν. Κἀπειδήπερ ἡ θεότης κατὰ τὴν τῶν θεολόγων παράδοσιν οὐ τῆς τοῦ θεοῦ οὐσίας, ἀλλὰ τῆς τοῦ θεοῦ ἐνεργείας κυρίως ὄνομά ἐστι, μίαν καὶ

[150] «Cele două pomenite uniri ale Dumnezeirii Celei în-trei-Ipostasuri», adică primele două 'moduri' de unire (sau unghiuri din care vorbim despre unire – şi unitate – în privinţa Dumnezeirii), sînt, pe de o parte, neieşirea lui Dumnezeu spre arătare (τὸ τοῦ Θεοῦ πρὸς ἔκφανσιν ἀνεκφοίτητον) şi, pe de alta, faptul de a avea proprii – în chip *unitar* – atât toată punerea/afirmarea/afirmaţia, cât şi rămânerea deasupra a toată punerea/afirmarea/afirmaţia (ἥ τε πάντων θέσις καὶ τὸ ὑπὲρ πᾶσαν θέσιν). Urmează, numaidecât, şi înfăţişarea celui de al treilea mod – sau chip – de unire, şi anume cel din unghiul lucrării celei *una* a dumnezeieştilor Ipostasuri, datorată perihorezei Lor.

[21] Aşadar, pe lângă cele două pomenite uniri ale Dumnezeirii Celei în-trei-Ipostasuri[150], [mai] este şi [ră] mânerea – şi perihoreza[151] – Ipostasurilor Unele în Altele, pe de-a-ntregul şi statornic şi neieşit[152] ţinându-Se [Ele] întreolaltă, încât *una* [Le] este şi lucrarea celor trei Ipostasuri. [Şi aceasta] nu după cum [lucrarea] a trei oameni este, pe de o parte, asemenea, dar, pe de alta, fiecare lucrând de sine[153] [adică particular], [tot] de sine [adică particulară îi] este şi lucrarea. Nu aşa, deci, [este una lucrarea celor Trei], ci cu adevărat una şi aceeaşi; că *una* este mişcarea dumnezeieştii voi[ri], pornită din pricína preliminară [cea] care este Tatăl şi purcească prin Fiul şi arătată întru sfântul Duh[154]. Şi vădit e aceasta din rezultate[le ei]; că, precum s-a zis, [nu de altundeva decât] din acestea [ni] se face cunoscută toată lucrarea [dumnezeiască][155]. Şi nu cum [se întâmplă cu cizmarii, că] fiecare face altă încălţăminte, măcar că meşteşugul tuturora unul şi acelaşi este; ci toată zidirea un singur lucru este al celor Trei şi, din aceasta[156], ne-am învăţat de către Părinţi a înţelege [că] una şi aceeaşi [este] dumnezeiasca lucrare a închinatelor Trei Feţe, nu împărţită Fiecăreia şi asemănătoare. Şi fiindcă, după predania cuvântătorilor-de-Dumnezeu, 'dumnezeirea' e propriu-zis nume nu al fiinţei lui Dumnezeu, ci al lucrării lui Dumnezeu[157],

[151] Sau faptul de a Se 'mişca' – toate trei – Una 'împrejurul' Alteia, neabătut.
[152] Adică: neabătut (de la perihoreză).
[153] Sau: particular.
[154] Vezi Grigorie al Nyssei, *Către Avlavie*, PG 45, 125 C.
[155] «toată lucrare»: lucrarea dumnezeiască, oricare ar fi aceasta, fiecare în parte.
[156] Din zidire, adică.
[157] Vezi, de pildă, Grigorie al Nyssei, *Împotriva lui Eunomiu* 3, 10, PG 45, 888 D: «numele de *dumnezeire* arată fie puterea văzătoare/epoptică, fie cea proniatoare»; vezi şi paragraful 8 din următoarea scriere a autorului nostru (*Despre dumnezeieştile lucrări*).

τὴν αὐτήν φαμεν θεότητα τῶν τριῶν προσκυνητῶν προσώπων, ἀλλ' οὐχὶ μίαν ὡς ὁμοίαν, καθάπερ τὴν φυσικὴν τῶν τριῶν ἀνθρώπων ἢ τὴν ἐπίκτητον καὶ τεχνικὴν ἐνέργειαν.

[22] Γνώτωσαν οὖν κἀντεῦθεν Βαρλαὰμ καὶ Ἀκίνδυνος, αὐτὴν τὴν κυρίως τοῦ θεοῦ θεότητα κτιστὴν ἀποφαινόμενοι, συγγραφόμενοι φρενοβλαβῶς, «ἓν ἄναρχον καὶ ἀτελεύτητον, ἡ οὐσία τοῦ θεοῦ, τὰ δὲ παρὰ ταύτην πάντα γενητῆς ὑπάρχει φύσεως», καὶ πάλιν, «μόνη ἄκτιστος θεότης ἡ φύσις τοῦ θεοῦ, τὰ δὲ περὶ αὐτὴν ἅπαντα κτιστά». Τῆς γὰρ θείας ἐνεργείας τῆς ἐκ πατρὸς προϊούσης δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι καὶ διὰ τῶν ἀποτελεσμάτων ἡμῖν ἀποκεκαλυμμένης, ἀλλ' οὐχὶ τῆς θείας οὐσίας ἡ θεότης κυρίως ὄνομά ἐστιν· ἡ γὰρ ἐνέργεια κίνησίς ἐστιν οὐσίας, ἀλλ' οὐκ οὐσία. Κίνησις δὲ καὶ ἐνέργεια τίνος; Πάντως τοῦ θεοῦ. Τοιγαροῦν καὶ θεότης τοῦ θεοῦ. Δύο τοίνυν τοῦ θεοῦ λέγουσι θεότητας, ἄκτιστόν τε καὶ κτιστήν, καὶ τὴν μὲν ὑπερκειμένην ὡς ἄκτιστον, τὴν δὲ ὑφειμένην ὡς κτιστήν, οἱ μόνην λέγοντες ἄκτιστον θεότητα τὴν φύσιν τοῦ θεοῦ, τὴν δὲ περὶ αὐτὴν ταύτης ἐνέργειαν θεότητα κτιστήν· μᾶλλον δὲ τὴν μίαν τοῦ θεοῦ θεότητα διχοτομοῦσιν ἀνοήτως εἰς ἄκτιστόν τε καὶ κτιστήν· τὸ γὰρ ἐνεργεῖν καὶ ἡ ἐνέργεια ταὐτόν, ὥσπερ καὶ τὸ κινεῖσθαι καὶ ἡ κίνησις. Τίς οὖν, εἰ μὴ τελέως παραπαίει, διὰ τὸ ἐνεργεῖν τε καὶ κινεῖσθαι τὸν ἐνεργοῦντα καὶ κινούμενον πολλὰ ἐρεῖ ἐναντίως ἔχοντα πρὸς ἄλληλα, ὡς τὸ ἄκτιστον καὶ τὸ κτιστόν; Ἴσον γάρ, εἰ καὶ τὸν ἱστάμενον φαίη πολλοὺς εἶναι διὰ τὴν στάσιν, καίτοι τοῦ ἱσταμένου

[158] «fireasca lucrare»: lucrarea naturală, cea proprie firii umane.
[159] Altfel zis: atunci când scriu [ei] că.
[160] Vezi *Triade* 3, 2, 4.

una şi aceeaşi spunem [a fi] dumnezeirea închinatelor Trei Feţe, dar nu 'una' în înţelesul de 'asemănătoare', ca firească lucrare[158] – ori dobândita şi meşteşugărească – a celor trei oameni.

[22] Cunoască, dar, şí de aici Varlaam şi Achindin [cum] că [nu altceva decât pe] însăşi propriu-zisa dumnezeire a lui Dumnezeu o declară creată scriind [ei] nebuneşte că[159] «un [singur] lucru este fără-de-început şi fără-de-sfârşit, [şi anume fiinţa sau] esenţa lui Dumnezeu, iar *toate* cele de la aceasta sînt de natură creată» şi, iarăşi, [că] «unica divinitate [adică dumnezeire] necreată este natura lui Dumnezeu, iar toate cele din jurul ei sînt create»[160]. Că dumnezeieştii lucrări – celei purcese din Tatăl prin Fiul în sfântul Duh şi descoperite nouă prin rezultate[le ei] – îi este propriu-zis nume 'dumnezeirea', iar nu fiinţei dumnezeieşti; că lucrarea este *mişcare* a fiinţei, nu *fiinţă*. Iar *mişcare* şi *lucrare* a cui? Negreşit că a lui Dumnezeu. Prin urmare, două dumnezeiri afirmă – [una] necreată şi [una] creată – cei ce spun că singura dumnezeire necreată este natura [adică firea] lui Dumnezeu, iar [că] lucrarea dimprejurul ei [este] dumnezeire creată; mai bine zis: dumnezeirea cea una a lui Dumnezeu o despică – nesăbuit – în creată şi necreată; că [*faptul de*] *a lucra* e totuna cu *lucrarea*, după cum şi [*faptul de*] *a se mişca* cu *mişcarea*. Cine deci (dacă nu cumva a luat-o cu desăvârşire razna) va spune că *cel ce lucrează* (sau se mişcă) este – din pricina faptului de a lucra (sau a se mişca) – [*mai*] *multe*[161], contrare unele altora, precum necreatul şi creatul? Că [aceasta] e ca şi cum ar zice că *cel ce stă* este – din pricina stării – [*mai*] *multe* (cu toate că starea se deosebeşte de cel ce stă şi mişcarea de cel ce se

[161] «este [mai] multe»: este ceva multiplu, este multiplicitate, nu unitate.

διενήνοχεν ἡ στάσις καὶ ἡ κίνησις τοῦ κινουμένου, καὶ κατὰ τὴν διαφορὰν ταύτην ἄλλο τούτων ἕκαστον· εἰ δὲ μὴ κατὰ τὸ ἐναντίον ἔχει ταῦτα τὴν πρὸς ἄλληλα διαφορὰν καὶ ἓν εἶναι πάντα οὐδὲν τὸ προσιστάμενον. Οὕτως οὖν εἰ καὶ τῆς θείας οὐσίας ἡ θεία διενήνοχεν ἐνέργεια, ἀλλ' ἐν οὐσίᾳ καὶ ἐνεργείᾳ μία ἐστὶ θεότης τοῦ θεοῦ. Καὶ οὐ μία μόνον, ἀλλὰ καὶ ἁπλῆ· τίς γὰρ σύνθεσις κινουμένου τε καὶ κινήσεως, ταὐτὸ δ' εἰπεῖν ἐνεργοῦντός τε καὶ ἐνεργείας; Οὐδὲ γὰρ ὁ ἑστηκὼς σύνθετος διὰ τὴν στάσιν. Ἆρ' οὐκ ἐκδηλότατον ὡς ἡμῶν τὸ σφῶν ἔγκλημα καταψευδόμενοι διατελοῦσιν οἱ διθεΐαν ἡμῶν κατηγοροῦντες προφάσει τῆς παρ' ἡμῶν πρεσβευομένης διαφορᾶς τῆς θείας οὐσίας πρὸς τὴν θείαν ἐνέργειαν;

[23] Οὐ μὴν ἀλλ' εἰπάτωσαν ἡμῖν οἱ λέγοντες μόνην ἄκτιστον τὴν θείαν φύσιν, τὰ δὲ παρ' αὐτὴν ἅπαντα τοῖς κτίσμασι συναριθμοῦντες· ἆρα καὶ ἡ ἐν ἀλλήλαις τῶν θείων ὑποστάσεων μονὴ καὶ περιχώρησις οὐσία ἐστίν; Ἆρα δὲ μετὰ τῶν κτισμάτων θήσομεν αὐτήν, ὅτι μὴ οὐσία, ἵνα μὴ τῶν θείων ὑποστάσεων ἑκάστη σύνθετος ἀναφανείη, ἢ πολλὰ γένοιτο τὰ ἄκτιστα καὶ πολυθεΐᾳ παρὰ τοῦτο περιπέσωμεν οἱ καὶ τὰς θείας ὑποστάσεις καὶ τὴν εἰς ἀλλήλας τούτων περιχώρησιν ἄκτιστα δοξάζοντες; Τοιαῦτα Βαρλαὰμ καὶ Ἀκινδύνου τὰ καθ' ἡμῶν ἐγκλήματα, παρ' ὧν αὐτοὶ σφᾶς αὐτοὺς κατὰ κρημνοῦ βάλλουσι πολυθεΐας τε καὶ ἀθεΐας, τὸν ἕνα θεὸν εἰς κτιστὰ καὶ ἄκτιστα διχοτομοῦντες, καὶ δι'

[162] Adică: dacă deosebirea dintre (de pildă) *cel ce se mişcă* şi *mişcare* nu este una care le opune pe acestea două una alteia, care îl face – adică – pe *cel ce se mişcă* să fie ceva contrar *mişcării*.

[163] «toate [acestea]»: *cel ce se mişcă* şi *mişcarea; cel ce stă* şi *starea; cel ce lucrează* şi *lucrarea* etc.

mişcă) şi tot aşa, din unghiul deosebirii de felul acesta, despre orice altceva dintre acestea. Iar dacă nu în chip contrar au acestea deosebirea dintre ele[162], atunci nimic nu împiedică faptul ca toate [acestea[163]] să fie *una*[164]. Tot aşa, deci, cu toate că dumnezeiasca lucrare se deosebeşte de fiinţa dumnezeiască, una [singură] este însă – în fiinţă şi lucrare[165] – dumnezeirea lui Dumnezeu. Şi nu doar una, ci şi simplă; că ce compunere [poate fi] între *cel ce se mişcă* şi *mişcare*, totuna cu a zice între *cel ce lucrează* şi *lucrare*? Că nici cel ce stă nu este – din pricina stării – compus. Nu e oare prealimpede că propria lor vină o pun [de fapt] pe seama noastră, în chip mincinos, cei care ne acuză de diteism pe motiv că afirmăm deosebirea dumnezeieştii lucrări de fiinţa dumnezeiască?

[23] Şi mai zică, dar, nouă cei ce spun că 'singura necreată este natura divină', iar pe cele de la ea[166] le numără în rândul zidirilor: oare şí [ră]mânerea şi perihoreza dumnezeieştilor Ipostasuri Unele în Altele esenţă/fiinţă este? Şi, fiindcă nu este esenţă/fiinţă, o vom pune oare [în rând] cu zidirile, ca nu cumva fiecare din dumnezeieştile Ipostasuri să apară a fi compus, ori [ca nu cumva] multe să se facă cele nezidite şi – din pricina aceasta – să cădem în politeism, cei ce socotim [a fi] nezidite şí dumnezeieştile Ipostasuri, şí perihoreza Acestora întreolaltă? De felul acesta sînt învinuirile pe care Varlaam şi Achindin le aduc asupra noastră, [învinuiri] de la care [pornind] ei pe ei înşişi se aruncă [de fapt] în prăpastia politeismului şi – totodată – a ateismului, pe Unul Dumnezeu

[164] «să fie una»: să fie unitate, nu multiplicitate; adică: *cel ce se mişcă* şi *mişcarea* să 'formeze' un *unu*, o unitate; etc.

[165] «în fiinţă şi lucrare»: din unghiul existenţei perechii fiinţă~lucrare; mai bine zis: în pofida existenţei perechii fiinţă~lucrare.

[166] «cele de la ea»: atât lucrările ei, cât şi rezultatele acestora.

ὧν φασι κτιστῶν καὶ τὰ ἄκτιστα κατασύροντες οὐχ ἧττον. Πῶς γὰρ ἂν εἶεν ὑποστάσεις ἄκτιστοι, ὧν ἡ πρὸς ἀλλήλας περιχώρησις κατ' αὐτοὺς οὐκ ἄκτιστος; Ἐπεὶ μήτ' οὐσία μήτε τις τῶν ὑποστάσεών ἐστιν, αἷς αὐτοὶ μόναις τὸ ἄκτιστον ἐμπεριγράφουσι. Πῶς δ' ἂν οὐσία εἴη ἄκτιστος, ἧς ἡ ἐνέργεια κτιστὴ τυγχάνει κατ' αὐτούς;

[24] Ἡμεῖς δὲ τὰ τῆς θείας ἑνώσεως κεφαλαιωδέστερον προθέντες, ὡς παρὰ τῶν μυσταγωγῶν τῆς εὐσεβείας μεμυήμεθα, φέρε καὶ τὰ τῆς θείας διακρίσεως διευκρινήσωμεν κατὰ τὸ ἐγχωροῦν. Τριττὴν γὰρ ἄν τις ἴδοι καὶ τὴν θείαν διάκρισιν νουνεχῶς ἐπιστήσας τῇ θεοπνεύστῳ θεολογίᾳ. Διακέκριται γὰρ «τὸ τοῦ πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἢ ὅλως κοινότητος ἐπεισαγομένης», ἀλλὰ φυλαττομένης ἀκινήτου τῆς ἰδιότητος ἑκάστῃ τῶν ὑποστάσεων, μὴ μόνον ὅτι κατὰ τὴν ἐν ἀλλήλαις μονήν τε καὶ περιχώρησιν ἀμιγῶς καὶ ἀσυγχύτως πρὸς ἀλλήλας ἔχουσιν, ἀλλὰ καὶ κατὰ τὸ αἴτιόν τε καὶ αἰτιατόν· μόνη γὰρ ἀρχὴ καὶ πηγὴ καὶ ῥίζα τοῦ τε υἱοῦ καὶ τοῦ πνεύματος ὁ πατήρ.

[25] Ταῦτα μὲν οὖν εἰ καὶ λέγονται παρ' ἡμῶν, ἀλλ' ὑπεράγνωστα καὶ ὑπεράῤῥητά ἐστι, καὶ τὰ τῆς οὐσιώδους ἑνώσεως καὶ τὰ τῆς ὑποστατικῆς διακρίσεως καὶ τὰ τῆς ἀμιγοῦς παντάπασι καὶ ἀφύρτου συμφυΐας.

---

[167] Perihoreza dumnezeieştilor Ipostasuri, adică.

[168] Literal: după cum am fost iniţiaţi de mistagogi.

[169] Amintim că dumnezeiasca unire tot întreită fusese; vezi, în urmă, paragraful 19.

[170] Adică: Scriptura.

[171] «numele şi lucrul»: numele unei realităţi şi realitatea propriu-zisă (cea numită cu respectivul nume).

[172] Dionisie Areopagitul, *Despre numirile dumnezeieşti* 2, 3, ed. De Gruyter, p. 125, r. 19-21. Înţelesul frazei ar fi: pe de o parte, numele – şi

despicându-L în create şi necreate şi, prin cele zidite de care vorbesc [ei], şí pe cele nezidite doborându-le, nu în mai mică măsură. Căci cum ar mai fi ipostasuri nezidite, cele ale cărora perihoreză – după [cum zic] aceştia – nu este necreată?; că aceasta[167] nu este nici esență/ființă, nici vreunul din ipostasurile în care – doar în ele – circumscriu ei necreatul. Şi cum ar mai fi nezidită ființa a cărei lucrare – după [cum zic] ei – este creată?

[24] Noi, însă, după ce am pus de față – mai pe scurt – cele ale dumnezeieştii uniri, după cum am fost învățați de către călăuzitorii-la-taina [credinței][168], hai să le limpezim şí pe cele ale dumnezeieştii deosebiri, pe cât cu putință. Că întreită [a fi] poate vedea cineva şí dumnezeiasca deosebire[169], cu [luare a]minte cercetând de-Dumnezeu-însuflata cuvântare-de-Dumnezeu[170]. Că s-a[u] deosebit «numele – şi lucrul[171] – cel mai presus-de-fire al 'Tatălui' şi al 'Fiului' şi al 'sfântului Duh', neapărând în[tre] Aceştia nici o potrivnicie ori vreo cât de mică devălmăşie»[172], ci nemişcată păstrându-I-se însuşirea fiecăruia dintre Ipostasuri, neamestecate [adică] şi neconfundate fiind [Ele] nu doar din unghiul [ră]mânerii şi perihorezei [Lor] Unele în Altele, ci şi după [raportul dintre] pricinuit şi pricinuitor; că [ră]mânere şi obârşie şi izvor şi rădăcină a Fiului şi Duhului – Tatăl [este].

[25] Acestea, dar, măcar că le zicem, [necunoscute în chip] mai presus-de-necunoaştere şi [negrăite în chip] mai-presus-de-negrăire sînt, [şi anume] cele ale unirii ființiale şi cele ale deosebirii ipostatice şi cele ale cu totul neamestecatei împreună-fiíri[173]; că de felul acesta sînt

---

calitatea – de Tată şi Fiu şi Duh nu introduc opoziții între Persoanele Treimii; şi, pe de altă parte, ele nu sînt deloc comune Persoanelor.

[173] Sau co-naturalități.

Τοιαῦτα δέ ἐστιν, ἐπεὶ καὶ τελέως ἐστὶν ἀμέθεκτα. Διὸ οὐδ' ὑπόδειγμά ἐστι τούτων ἐπὶ τῆς κτίσεως εὑρεῖν. Περὶ μὲν γὰρ τῆς οὐσίας τί χρὴ καὶ λέγειν, ἣν οὔτε εἰπεῖν ἐστιν οὔτε ὅλως πως θεωρῆσαι; Τῆς δὲ τῶν ὑποστάσεων ἀλληλουχίας τε καὶ διακρίσεως τὸ παντάπασιν ἀπερινόητον ἔξεστιν ἐντεῦθεν συνορᾶν. Πατήρ ἐστι καὶ υἱὸς καὶ ἐν ἡμῖν, μιᾶς μὲν ὄντες οὐσίας, ἀλλ' οὐκ ἀλλήλων ἀχωρίστως ἔχουσιν, οὐδ' ἐν ἀλλήλοις εἰσίν. Ἀλλ' ἐρεῖ τις ἥλιον, ἀκτῖνα καὶ φῶς, ἢ νοῦν καὶ λόγον καὶ πνεῦμα τὰ καθ' ἡμᾶς; Ἀλλὰ τῶν τοιούτων ἕκαστον ἀχώριστα μὲν ἀλλήλων, οὐ διαιρεῖται δὲ ἀπὸ τοῦ γεννῶντος τὰ παρ' αὐτοῦ προϊόντα ταῖς ὑποστάσεσι.

[26] Ταῦτ' ἄρα καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος τοῦτ' αὐτὸ λέγων, «ἥλιον», φησίν, «ἐνεθυμήθην καὶ ἀκτῖνα καὶ φῶς· ἀλλὰ δέδοικα, μὴ τὸ μὲν οὐσιώσωμεν, τὰ δὲ οὐχ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις θεοῦ ποιήσωμεν ἐνυπαρχούσας οὐχ ὑφεστώσας». Διὰ τοῦτο καὶ ὁ μέγας Διονύσιος περὶ τούτων διαλαβών, εἶτ' ἐπισφραγίζων τὸν περὶ τούτων λόγον, «αὗται μέν», φησίν, «αἱ κατὰ τὴν ἄφθεγκτον ἕνωσιν ἑνώσεις καὶ διακρίσεις»· οὐδὲ γὰρ ἀπὸ τῶν κτισμάτων ὀνομάσαι ταύτας δυνατόν. Διὸ καὶ ὑπὲρ ἀριθμόν ἐστι τὸ θεῖον μᾶλλον ἤπερ ἡ μονάς, ἅτε μηδὲ συναριθμούμενον τῷ πλήθει· καὶ ὑπὲρ μονάδα μᾶλλον

[174] Adică: model care, prin însuşirile lui, să trimită la acelea, să corespundă cu acelea.
[175] Adică: faptul de a se ține [Ele] laolaltă, întreolaltă.
[176] «la noi»: în lumea noastră, pe tărâmul nostru.
[177] Adică: *raza* şi *lumina* faţă de *soare*, *cuvântul* şi *duhul* [adică suflul] faţă de *minte*.
[178] Pe Tatăl, adică.
[179] Pe Fiul, adică, şi pe Duhul.
[180] *De spiritu sancto* 32, PG 36, 169 B; ΕΠΕ 4, 250.

[de fapt], de vreme ce sînt cu desăvârşire de neîmpărtăşit [nimănui]; [fapt] pentru care nici nu e cu putinţă a afla în sânul zidirii model al acestora[174]. Că despre fiinţa [dumnezeiască] ce trebuinţă este a mai vorbi, când nici a o spune nu este [cu putinţă], nici câtuşi de cât a o vedea? Iar că de neînţeles este con-ţinerea[175] şi deosebirea Ipostasurilor se poate vedea de aici: tată şi fiu sînt şi la noi[176], de-o-fiinţă fiind, dar nu sînt nedespărţiţi unul de altul, nici nu sînt unul într-altul. Dar – va zice cineva – *soarele* şi *raza* şi *lumina*, ori *mintea* şi *cuvântul* şi *duhul*, cele de la noi? Dar, măcar că fiecare din acestea e nedespărţit de celelalte, însă nu după ipostasuri se deosebesc de născător cele de la el purcese[177].

[26] Întocmai acestea şi Grigorie cel de-un-nume cu teologhisirea spunându-le, «mă gândesc» – zice – «la *soare* şi la *rază* şi la *lumină*; dar m-am temut nu cumva pe unul[178] să Îl gândim ca fiinţă, iar pe celelalte [două[179]] să nu le mai ipostaziem, ci să le facem puteri ale lui Dumnezeu, existente în El, nu în ipostas aparte»[180]. Pentru aceasta şi marele Dionisie, despre acestea vorbind, pecetluind mai apoi cuvântul, «acestea sînt» – zice – «unirile şi deosebirile cele după[181] unirea cea *de nespus*»[182]; că nici nu e cu putinţă a le numi pe acestea [pornind] de la zidiri. [Fapt] pentru care şi [se întâmplă că] Dumnezeiescul este *mai-presus-de-număr* în mai mare măsură decât [este] unitatea, ca unul ce nu este din rândul mulţimii [numerelor[183]]; şi este *mai-presus-de-unitate* în mai mare

[181] Adică: din unghiul.

[182] *Despre dumnezeieştile numiri* 2, 5, PG 3, 641 D.

[183] Adică: unitatea – deşi e mai presus de număr, că pe baza ei există numerele – este totuşi în planul numerelor, în mulţimea numerelor; pe când Dumnezeiescul nu.

ἢ ὁ ἀριθμός, ἅτε μηδ' ἐν τῷ διαιρεῖσθαι προσλαμβάνον ἕτερόν τι τῶν ἐκτός, ἀλλ' ἀριθμὸς ὑπάρχον ἀμερής· μᾶλλον δὲ καὶ ἕν ἐστιν, ὑπὲρ τὸ ἐν τοῖς οὖσιν ἕν, μονώτατον ὑπάρχον καὶ κυρίως ἓν ὡς ὑπερηνωμένον, καὶ ἀριθμεῖται διαιρούμενον ὑπὲρ τὰ ἑνικῶς διῃρημένα πάντα, μόνον ὑπὲρ πάντα νοῦν καὶ λόγον καὶ τὴν τῶν ἡνωμένων ἀεὶ διάκρισιν ἐπαληθεῦον καὶ τὴν τῶν διακεκριμένων ἕνωσιν.

